PLUTARCHI

PHILOPŒMEN.
FLAMININUS.
PYRRHUS.

AD CODD. FIDEM RECENSUIT

IO. CHRISTIANUS FELIX BAEHR,
PH. DR. PROFESSOR HEIDELBERGENSIS.

LIPSIAE
IN BIBLIOPOLIO HAHNIANO.
MDCCCXXVI.

ΦΙΛΟΠΟΙΜΗΝ.

Κλέανδρος ἦν ἐν Μαντινείᾳ γένους τε πρώτου, καὶ δυ- 856
νηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν· τύχῃ δὲ χρησάμενος, καὶ
τὴν ἑαυτοῦ φυγὼν, ἧκεν εἰς Μεγάλην πόλιν, οὐχ ἥκιστα διὰ
τὸν Φιλοποίμενος πατέρα, Κραῦγιν, ἄνδρα πάντων ἕνεκα λαμ-
πρὸν, ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. Ζῶντος μὲν οὖν
αὐτοῦ πάντων ἐτύγχανε, τελευτήσαντος δὲ τὴν ἀμοιβὴν τῆς
φιλοξενίας ἀποδιδοὺς, ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα,
καθάπερ φησὶν Ὅμηρος ὑπὸ τοῦ Φοίνικος τὸν Ἀχιλλέα τραφῆ-
ναι, γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς
πλάσιν καὶ αὔξησιν λαμβάνοντος. Ἤδη δὲ τοῦ Φιλοποίμενος
ἀντίπαιδος ὄντος, Ἔκδημος καὶ Δημοφάνης, οἱ Μεγαλοπολῖ-
ται, διεδέξαντο τὴν ἐπιμέλειαν, Ἀρκεσιλάῳ συνήθεις ἐν Ἀκα-
δημίᾳ γεγονότες, καὶ φιλοσοφίαν μάλιστα τῶν καθ' ἑαυτοὺς
ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. Οὗτοι καὶ τὴν ἑαυ-
τῶν πατρίδα τυραννίδος ἀπήλλαξαν, τοὺς ἀποκτενοῦντας Ἀρι-
στόδημον κρύφα παρασκευάσαντες· καὶ Νικοκλέα τὸν Σικυώ-
νιον τύραννον Ἀράτῳ συνεξέβαλον, καὶ Κυρηναίοις δεηθεῖσιν,
τεταραγμένων τῶν κατὰ τὴν πόλιν καὶ νοσούντων, πλεύσαν-
τες εὐνομίαν ἔθεντο, καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. Αὐ-
τοί γε μὴν ἐν τοῖς ἄλλοις ἔργοις καὶ τὴν Φιλοποίμενος ἐποι-
οῦντο παίδευσιν, ὡς κοινὸν ὄφελος τῇ Ἑλλάδι τὸν ἄνδρα τοῦ-
τον ὑπὸ φιλοσοφίας ἀπεργασόμενοι. Καὶ γὰρ, ὥσπερ ὀψίγο-
νον ἐν γήρᾳ, ταῖς τῶν παλαιῶν ἡγεμόνων ἐπιτεκοῦσα τοῦτον
ἀρεταῖς ἡ Ἑλλὰς, ἠγάπησε διαφερόντως, καὶ συνηύξησε τῇ
δόξῃ τὴν δύναμιν. Ῥωμαίων δέ τις ἐπαινῶν, ἔσχατον αὐτὸν
Ἑλλήνων προσεῖπεν, ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς
Ἑλλάδος ἄνδρα γειναμένης, οὐδὲ αὐτῆς ἄξιον.

II. Ἦν δὲ τὸ μὲν εἶδος οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν. Εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν ἐν Δελφοῖς ὁρῶμεν. Τὴν δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσι δι' εὐκο-
357 λίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ. Πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτοὺς τὸν στρατηγὸν τῶν Ἀχαιῶν, ἐθορυβεῖτο, παρασκευάζουσα δεῖπνον, οὐ παρόντος κατὰ τύχην τοῦ ἀνδρός. Ἐν τούτῳ δὲ τοῦ Φιλοποίμενος εἰσελθόντος, χλαμύδιον εὐτελὲς ἔχοντος, οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ προδρόμων, παρεκάλει τῆς διακονίας συνεφάψασθαι. Καὶ ὁ μὲν εὐθὺς ἀποῤῥίψας τὴν χλαμύδα τῶν ξύλων ἔσχιζεν· ὁ δὲ ξένος ἐπεισελθὼν, καὶ θεασάμενος· Τί τοῦτο, ἔφη, Φιλοποίμην; Τί γὰρ ἄλλο, ἔφη δωρίζων ἐκεῖνος, ἢ κακᾶς ὄψεως δίκας δίδωμι; Τοῦ δ' ἄλλου σώματος τὴν φύσιν ἐπισκώπτων ὁ Τίτος εἶπεν· Ὦ Φιλοποίμην, ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη· γαστέρα δ' οὐκ ἔχεις. Ἦν γὰρ ἐκ τῶν μέσων στενώτερος. Τὸ μέντοι σκῶμμα πρὸς τὴν δύναμιν αὐτοῦ μᾶλλον ἐλέχθη. Καὶ γὰρ ὁπλίτας ἔχων ἀγαθοὺς καὶ ἱππεῖς, χρημάτων πολλάκις οὐκ εὐπόρει. Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς περὶ τοῦ Φιλοποίμενος λέγεται.

III. Τοῦ δ' ἤθους τὸ φιλότιμον οὐκ ἦν παντάπασι φιλονεικίας καθαρὸν, οὐδ' ὀργῆς ἀπηλλαγμένον· ἀλλὰ, καίπερ Ἐπαμινώνδου βουλόμενος εἶναι μάλιστα ζηλωτὴς, τὸ δραστήριον καὶ συνετὸν αὐτοῦ καὶ ὑπὸ χρημάτων ἀπαθὲς ἰσχυρῶς ἐμιμεῖτο· τῷ δὲ πράῳ καὶ βαθεῖ καὶ φιλανθρώπῳ παρὰ τὰς πολιτικὰς διαφορὰς ἐμμένειν οὐ δυνάμενος δι' ὀργὴν καὶ φιλονεικίαν, μᾶλλον ἐδόκει στρατιωτικῆς, ἢ πολιτικῆς, ἀρετῆς οἰκεῖος εἶναι. Καὶ γὰρ ἐκ παίδων εὐθὺς ἦν φιλοστρατιώτης, καὶ τοῖς πρὸς τοῦτο χρησίμοις μαθήμασιν ὑπήκουε προθύμως, ὁπλομαχεῖν καὶ ἱππεύειν. Ἐπεὶ δὲ καὶ παλαίειν εὐφυῶς ἐδόκει, καὶ παρεκάλουν αὐτὸν ἐπὶ τὴν ἄθλησιν ἔνιοι τῶν φίλων καὶ τῶν ἐπιτρόπων, ἠρώτησεν αὐτοὺς, μή τι πρὸς τὴν στρατιωτικὴν ἄσκησιν ὑπὸ τῆς ἀθλήσεως βλαβήσοιτο. Τῶν δὲ φαμένων, ὅπερ ἦν, ἀθλητικὸν στρατιωτικοῦ σῶμα καὶ βίον διαφέρειν τοῖς πᾶσι, μάλιστα δὲ δίαιταν ἑτέραν καὶ ἄσκησιν εἶναι, τῶν μὲν ὕπνῳ τε πολλῷ καὶ πλησμοναῖς ἐνδελεχέσι, καὶ κινήσεσι τεταγμέναις καὶ ἡσυχίαις αὐξόντων τε καὶ διαφυλαττόντων τὴν ἕξιν, ὑπὸ πάσης ῥοπῆς καὶ παρεκβάσεως τοῦ συνήθους ἀκροσφαλῆ πρὸς μεταβολὴν οὖσαν· τὰ δὲ, πάσης μὲν πλάνης

ἔμπειρα καὶ πάσης ἀνωμαλίας προσῆκον εἶναι, μάλιστα δὲ φέρειν ῥᾳδίως μὲν ἔνδειαν εἰθισμένα, ῥᾳδίως δ' ἀγρυπνίαν· ἀκούσας ὁ Φιλοποίμην, οὐ μόνον αὐτὸς ἔφυγε τὸ πρᾶγμα καὶ κατεγέλασεν, ἀλλὰ καὶ στρατηγῶν ὕστερον, ἀτιμίαις καὶ προπηλακισμοῖς, ὅσον ἦν ἐπ' αὐτῷ, πᾶσαν ἄθλησιν ἐξέβαλλεν, ὡς τὰ χρησιμώτατα τῶν σωμάτων εἰς τοὺς ἀναγκαίους ἀγῶνας ἄχρηστα ποιοῦσαν.

IV. Ἀπαλλαγεὶς δὲ διδασκάλων καὶ παιδαγωγῶν, ἐν μὲν ταῖς πολιτικαῖς στρατείαις, ἃς ἐποιοῦντο κλοπείας ἕνεκα καὶ λεηλασίας εἰς τὴν Λακωνικὴν ἐμβάλλοντες, εἴθισεν αὑτὸν, πρῶτον μὲν ἐκστρατευόντων, ὕστατον δ' ἀπερχομένων βαδίζειν. Σχολῆς δ' οὔσης, ἢ κυνηγῶν διεπόνει τὸ σῶμα, καὶ κατεσκεύαζε κοῦφον ἅμα καὶ ῥωμαλέον, ἢ γεωργῶν. Ἦν γὰρ ἀγρὸς αὐτῷ καλὸς ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως. Εἰς τοῦτον ἐβάδιζε καθ' ἡμέραν μετὰ τὸ ἄριστον, ἢ μετὰ τὸ δεῖπνον, καὶ καταβαλὼν ἑαυτὸν ἐπὶ στιβαδίου τοῦ τυχόντος, ὥσπερ ἕκαστος τῶν ἐργατῶν, ἀνεπαύετο. Πρωῒ δὲ ἀναστὰς καὶ συνεφαψάμενος ἔργου τοῖς ἀμπελουργοῦσιν, ἢ βοηλατοῦσιν, αὖθις εἰς πόλιν ἀπῄει, καὶ περὶ τὰ δημόσια τοῖς φίλοις καὶ τοῖς ἄρχουσι συνησχολεῖτο. Τὰ μὲν οὖν ἐκ τῶν στρατειῶν προσιόντα κατανήλισκεν εἰς ἵππους καὶ ὅπλα καὶ λύσεις αἰχμαλώτων. Τὸν δ' οἶκον ἀπὸ τῆς γεωργίας αὔξειν ἐπειρᾶτο, δικαιοτάτῳ τῶν χρηματισμῶν· οὐδὲ τοῦτο ποιούμενος πάρεργον, ἀλλὰ καὶ πάνυ προσήκειν οἰόμενος οἰκεῖα κεκτῆσθαι τὸν ἀλλο- 358
τρίων ἀφεξόμενον. Ἠκροᾶτο δὲ λόγων, καὶ συγγράμμασι φιλοσόφων ἐνετύγχανεν, οὐ πᾶσιν, ἀλλ' ἀφ' ὧν ἐδόκει πρὸς ἀρετὴν ὠφελεῖσθαι. Καὶ τῶν Ὁμηρικῶν, ὅσα τὰς πρὸς ἀνδρείαν ἐγείρειν καὶ παροξύνειν ἐνόμιζε φαντασίας, τούτοις προσεῖχε. Τῶν δ' ἄλλων ἀναγνωσμάτων μάλιστα τοῖς Εὐαγγέλου τακτικοῖς ἐνεφύετο, καὶ τὰς περὶ Ἀλέξανδρον ἱστορίας κατεῖχε, τοὺς λόγους ἐπὶ τὰ πράγματα καθιστρέφειν οἰόμενος, εἰ μὴ σχολῆς ἕνεκα καὶ λαλιᾶς ἀκάρπου περαίνοιντο. Καὶ γὰρ τῶν τακτικῶν θεωρημάτων τὰς ἐπὶ τοῖς πινακίοις διαγραφὰς ἐῶν χαίρειν, ἐπὶ τῶν τόπων αὐτῶν ἐλάμβανεν ἔλεγχον καὶ μελέτην ἐποιεῖτο, χωρίων συγκλινίας, καὶ πεδίων ἀποκοπὰς, καὶ ὅσα παρὰ ῥείθροις, ἢ τάφροις, ἢ στενωποῖς, πάθη καὶ σχήματα διασπωμένης καὶ πάλιν συστελλομένης φάλαγγος, ἐπισκοπῶν αὐτὸς πρὸς αὑτὸν ἐν ταῖς ὁδοιπορίαις, καὶ τοῖς μεθ' ἑαυ-

τοῦ προβάλλων. Ἔοικε γὰρ οὗτος ἀνὴρ περαιτέρω τῆς ἀνάγκης ἐμφιλοκαλῆσαι τοῖς στρατιωτικοῖς, καὶ τὸν πόλεμον ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς ἀσπάσασθαι, καὶ ὅλως καταφρονεῖν τῶν ἀπολειπομένων, ὡς ἀπράκτων.

V. Ἤδη δ' αὐτοῦ τριάκοντα ἔτη γεγονότος, Κλεομένης, ὁ βασιλεὺς Λακεδαιμονίων, νυκτὸς ἐξαίφνης προσπεσὼν τῇ Μεγάλῃ πόλει, καὶ τὰς φυλακὰς βιασάμενος, ἐντὸς παρῆλθε καὶ τὴν ἀγορὰν κατέλαβεν. Ἐκβοηθήσας δὲ Φιλοποίμην, τοὺς μὲν πολεμίους οὐ κατίσχυσεν ἐξελάσαι, καίπερ ἐῤῥωμένως καὶ παραβόλως διαγωνισάμενος· τοὺς δὲ πολίτας τρόπον τινὰ τῆς πόλεως ἐξέκλεψε, προσμαχόμενος τοῖς ἐπιδιώκουσι, καὶ τὸν Κλεομένην περισπῶν ἐφ' ἑαυτὸν, ὡς χαλεπῶς καὶ μόλις ὕστατος ἀπελθεῖν ἀποβαλὼν τὸν ἵππον, καὶ τραυματίας γενόμενος. Ἐπεὶ δὲ προσέπεμψεν αὐτοῖς ὁ Κλεομένης, εἰς Μεσσήνην ἀπελθοῦσι, τήν τε πόλιν μετὰ τῶν χρημάτων ἀποδιδοὺς καὶ τὴν χώραν, ὁρῶν ὁ Φιλοποίμην τοὺς πολίτας ἀσμένως δεχομένους, καὶ σπεύδοντας ἐπανελθεῖν, ἐνέστη καὶ διεκώλυσε, τῷ λόγῳ διδάσκων, ὡς οὐκ ἀποδίδωσι τὴν πόλιν Κλεομένης, προσκτᾶται δὲ τοὺς πολίτας, ἐπὶ τῷ καὶ τὴν πόλιν ἔχειν βεβαιότερον· οὐ γὰρ ἕξειν αὐτὸν, ὅπως οἰκίας καὶ τείχη κενὰ φυλάξῃ καθήμενος, ἀλλὰ καὶ τούτων ὑπ' ἐρημίας ἐκπεσεῖσθαι. Ταῦτα λέγων, τοὺς μὲν πολίτας ἀπέτρεψε, τῷ δὲ Κλεομένει πρόφασιν παρέσχε λυμήνασθαι καὶ καταβαλεῖν τὰ πλεῖστα τῆς πόλεως, καὶ χρημάτων εὐπορήσαντι μεγάλων ἀπελθεῖν.

VI. Ἐπεὶ δ' Ἀντίγονος ὁ βασιλεὺς βοηθῶν ἐπὶ τὸν Κλεομένην μετὰ τῶν Ἀχαιῶν ἐστράτευσε, καὶ, τὰς περὶ Σελλασίαν ἄκρας καὶ τὰς ἐμβολὰς κατέχοντος αὐτοῦ, παρέταξε τὴν δύναμιν, ἐγγὺς ἐπιχειρεῖν καὶ βιάζεσθαι διανοούμενος· ἦν μὲν ἐν τοῖς ἱππεῦσι μετὰ τῶν αὐτοῦ πολιτῶν τεταγμένος ὁ Φιλοποίμην, καὶ παραστάτας εἶχεν Ἰλλυριοὺς, οἷς τὰ λήγοντα τῆς παρατάξεως συνεπέφρακτο, πολλοῖς οὖσι καὶ μαχίμοις. Εἴρητο δ' αὐτοῖς ἐφεδρεύουσιν ἡσυχίαν ἔχειν, ἄχρις ἂν ἀπὸ θατέρου κέρως ὑπὸ τοῦ βασιλέως ἀρθῇ φοινικὶς ὑπὲρ σαρίσσης διατεταμένη. Τῶν δ' ἡγεμόνων τοῖς Ἰλλυριοῖς πειρωμένων ἐκβιάζεσθαι τοὺς Λακεδαιμονίους, καὶ τῶν Ἀχαιῶν, ὥσπερ προσετέτακτο, τὴν ἐφεδρείαν ἐν τάξει διαφυλαττόντων, Εὐκλείδας, ὁ τοῦ Κλεομένους ἀδελφὸς, καταμαθὼν τὸ γινόμενον διάσπασμα περὶ τοὺς πολεμίους, ταχὺ τοὺς ἐλαφροτάτους τῶν ψι-

λῶν περιέπεμψεν, ἐξόπισθεν τοῖς Ἰλλυριοῖς ἐπιπεσεῖν κελεύ-
σας, καὶ περισπᾶν ἐρήμους τῶν ἱππέων ἀπολελειμμένους.
Γινομένων δὲ τούτων, καὶ τῶν ψιλῶν τοὺς Ἰλλυριοὺς περι-
σπώντων καὶ διαταραττόντων, συνιδὼν ὁ Φιλοποίμην οὐ 359
μέγα ὂν ἔργον ἐπιθέσθαι τοῖς ψιλοῖς, καὶ τὸν καιρὸν ὑφη-
γούμενον τοῦτο, πρῶτον μὲν ἔφραζε τοῖς βασιλικοῖς· ὡς δ'
οὐκ ἔπειθεν, ἀλλὰ μαίνεσθαι δοκῶν κατεφρονεῖτο, οὐδέπω
μεγάλης, οὐδ' ἀξιοπίστου πρὸς τηλικοῦτο στρατήγημα δόξης
περὶ αὐτὸν οὔσης, αὐτὸς ἐμβάλλει, συνεπισπασάμενος τοὺς
πολίτας. Γενομένης δὲ ταραχῆς τὸ πρῶτον, εἶτα φυγῆς καὶ
φόνου πολλοῦ τῶν ψιλῶν, βουλόμενος ἔτι μᾶλλον ἐπιῤῥῶ-
σαι τοὺς βασιλικοὺς, καὶ προσμῖξαι κατὰ τάχος θορυβουμέ-
νοις τοῖς πολεμίοις, τὸν μὲν ἵππον ἀφῆκεν, αὐτὸς δὲ πρὸς
χωρία σκολιὰ καὶ μεστὰ ῥείθρων καὶ φαράγγων πεζὸς ἐν
ἱππικῷ θώρακι, καὶ σκευῇ βαρυτέρᾳ, χαλεπῶς καὶ ταλαιπώ-
ρως ἁμιλλώμενος, διελαύνεται διαμπερὲς ὁμοῦ τοὺς μηροὺς
ἑκατέρους ἐν μεσαγκύλῳ, καιρίας μὲν οὐ γενομένης, ἰσχυρᾶς
δὲ τῆς πληγῆς, ὥστε τὴν αἰχμὴν ἐπὶ θάτερα διῶσαι. Τὸ μὲν
οὖν πρῶτον ἐνσχεθεὶς ὥσπερ δεσμῷ, παντάπασιν ἀπόρως
εἶχε· τὸ γὰρ ἔναμμα τῆς ἀγκύλης χαλεπὴν ἐποίει τοῦ ἀκον-
τίσματος ἀνελκομένου διὰ τῶν τραυμάτων τὴν πάροδον. Ὡς
δὲ ὤκνουν οἱ παρόντες ἅψασθαι, καὶ τῆς μάχης ἀκμὴν ὀξεῖαν
ἐχούσης, ἐσφάδαζεν ὑπὸ θυμοῦ καὶ φιλοτιμίας πρὸς τὸν
ἀγῶνα, τῇ παραβάσει καὶ τῇ παραλλάξει τῶν σκελῶν διὰ
μέσου κλάσας τὸ ἀκόντισμα, χωρὶς ἐκέλευσε ἑλκύσαι τῶν
ἀγμάτων ἑκάτερον. Οὕτω δ' ἀπαλλαγεὶς, καὶ σπασάμενος
τὸ ξίφος, ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τοὺς πολεμίους,
ὥστε πολλὴν προθυμίαν καὶ ζῆλον ἀρετῆς παρασχεῖν τοῖς
ἀγωνιζομένοις. Νικήσας οὖν ὁ Ἀντίγονος, ἀπεπειρᾶτο τῶν
Μακεδόνων, ἐρωτῶν, διὰ τί, μὴ κελεύσαντος αὐτοῦ, τὸ ἱπ-
πικὸν ἐκίνησαν. Τῶν δ' ἀπολογουμένων, ὡς παρὰ γνώμην
βιασθεῖεν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, μειρακίου Μεγα-
λοπολιτικοῦ προεμβαλόντος, γελάσας ὁ Ἀντίγονος· Ἐκεῖνο
τοίνυν τὸ μειράκιον, εἶπεν, ἔργον ἡγεμόνος μεγάλου πε-
ποίηκεν.

VII. Ἐκ τούτου δόξαν ἔσχεν, ὥσπερ εἰκὸς, ὁ Φιλοποί-
μην. Καὶ τοῦ μὲν Ἀντιγόνου σπουδάσαντος, ὅπως στρα-
τεύοιτο μετ' αὐτοῦ, καὶ διδόντος ἡγεμονίαν καὶ χρήματα,

παρῃτήσατο, μάλιστα τὴν ἑαυτοῦ φύσιν καταμαθὼν πρὸς τὸ ἄρχεσθαι δυσκόλως καὶ χαλεπῶς ἔχουσαν. Ἀργεῖν δὲ καὶ σχολάζειν οὐ βουλόμενος, ἀσκήσεως ἕνεκα καὶ μελέτης τῶν πολεμικῶν εἰς Κρήτην ἔπλευσεν ἐπὶ στρατείαν. Κἀκεῖ συχνὸν χρόνον ἐγγυμνασάμενος ἀνδράσι μαχίμοις καὶ ποικίλοις μεταχειρίσασθαι πόλεμον, ἔτι δὲ σώφροσι καὶ κεκολασμένοις περὶ δίαιταν, ἐπανῆλθεν οὕτω λαμπρὸς εἰς τοὺς Ἀχαιούς, ὥστ' εὐθὺς ἵππαρχος ἀποδειχθῆναι. Παραλαβὼν δὲ τοὺς ἱππεῖς φαύλοις μὲν ἱππαρίοις ἐκ τοῦ προστυχόντος, ὅτε συμβαίνοι τῇ στρατείᾳ, προσχρωμένους, αὐτοὺς δὲ τὰς πολλὰς τῶν στρατειῶν ἀποδιδράσκοντας, ἑτέρους δὲ πέμποντας ἀνθ' ἑαυτῶν, δεινὴν δ' ἀπειρίαν μετ' ἀτολμίας πάντων οὖσαν, περιορῶντας δὲ ταῦτα τοὺς ἄρχοντας ἀεί, διά τε τὸ πλεῖστον ἐν τοῖς Ἀχαιοῖς τοὺς ἱππεῖς δύνασθαι, καὶ μάλιστα κυρίους εἶναι τιμῆς καὶ κολάσεως, οὐχ ὑπεῖξεν, οὐδ' ἀνῆκεν· ἀλλὰ καὶ τὰς πόλεις ἐπιὼν, καὶ κατ' ἄνδρα τῶν νέων ἕκαστον ἐπὶ τὴν φιλοτιμίαν συνεξορμῶν, καὶ κολάζων τοὺς ἀνάγκης δεομένους, μελέταις τε καὶ πομπαῖς, καὶ πρὸς ἀλλήλους ἁμίλλαις χρώμενος, ὅπου πλεῖστοι θεᾶσθαι μέλλοιεν, ὀλίγῳ χρόνῳ πᾶσι ῥώμην τε θαυμαστὴν καὶ προθυμίαν παρέστησε· καὶ, ὃ μέγιστον ἦν ἐν τοῖς τακτικοῖς, ἐλαφροὺς
360 καὶ ὀξεῖς πρός τε τὰς κατ' οὐλαμὸν ἐπιστροφὰς καὶ περισπασμοὺς, καὶ τὰς καθ' ἵππον ἐπιστροφὰς καὶ κλίσεις, ἀπειργάσατο καὶ συνείθισεν, ὡς ἑνὶ σώματι κινουμένῳ καθ' ὁρμὴν ἑκούσιον ἐοικέναι τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν. Συστάσης δὲ τῆς περὶ τὸν Λάρισσον αὐτοῖς ποταμὸν ἰσχυρᾶς μάχης πρὸς Αἰτωλοὺς καὶ Ἠλείους, ὁ τῶν Ἠλείων ἵππαρχος Δαμόφαντος ὥρμησεν ἐπὶ τὸν Φιλοποίμενα προεξελάσας. Δεξάμενος δὲ τὴν ὁρμὴν ἐκεῖνος αὐτοῦ, καὶ φθάσας τῷ δόρατι παίει καὶ καταβάλλει τὸν Δαμόφαντον. Εὐθὺς δὲ, τούτου πεσόντος, ἔφυγον οἱ πολέμιοι, καὶ λαμπρὸς ἦν ὁ Φιλοποίμην, ὡς οὔτε κατὰ χεῖρα τῶν νέων τινὸς, οὔτε συνέσει τῶν πρεσβυτέρων ἀπολειπόμενος, ἀλλὰ καὶ μάχεσθαι καὶ στρατηγεῖν ἱκανώτατος.

VIII. Τὸ δὲ κοινὸν τῶν Ἀχαιῶν πρῶτος μὲν Ἄρατος εἰς ἀξίωμα καὶ δύναμιν ἦρεν ἐκ ταπεινοῦ καὶ διεῤῥιμμένου κατὰ πόλεις, συναγαγὼν καὶ πολιτευσάμενος Ἑλληνικὴν καὶ φιλάνθρωπον πολιτείαν. Ἔπειτα, ὥσπερ ἐν τοῖς ὕδασιν, ἀρ-

ξαμένων ὀλίγων ὑφίστασθαι καὶ μικρῶν σωμάτων, ἤδη τὰ ἐπιῤῥέοντα τοῖς πρώτοις ἐνισχόμενα καὶ περιπίπτοντα πῆξιν ἰσχυρὰν καὶ στερεότητα ποιεῖ δι' ἀλλήλων, οὕτω, τῆς Ἑλλάδος ἀσθενοῦς καὶ εὐδιαλύτου φερομένης κατὰ πόλεις ἐν τῷ τότε χρόνῳ, πρῶτοι συστάντες οἱ Ἀχαιοὶ, καὶ τῶν κύκλῳ πόλεων τὰς μὲν ἐκ τοῦ βοηθεῖν καὶ συνελευθεροῦν ἀπὸ τῶν τυραννικῶν ὑπολαμβάνοντες, τὰς δ' ὁμονοίᾳ καὶ πολιτείᾳ καταμιγνύντες εἰς ἑαυτοὺς, ἓν σῶμα καὶ μίαν δύναμιν κατασκευάσαι διενοοῦντο τὴν Πελοπόννησον. Ἀλλ', Ἀράτου μὲν ζῶντος, ἔτι τοῖς Μακεδόνων ὅπλοις ὑπεδύοντο τὰ πολλὰ, θεραπεύοντες Πτολεμαῖον, εἶτ' αὖθις Ἀντίγονον καὶ Φίλιππον, ἐν μέσαις ἀναστρεφομένους ταῖς Ἑλληνικαῖς πράξεσιν. Ἐπεὶ δὲ Φιλοποίμην εἰς τὸ πρωτεύειν προῆλθεν, ἤδη καθ' ἑαυτοὺς ἀξιόμαχοι τοῖς ἰσχύουσι πλεῖστον ὄντες, ἐπαύσαντο χρώμενοι προστάταις ἐπεισάκτοις. Ἄρατος μὲν γὰρ, ἀργότερος εἶναι δοκῶν πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, ὁμιλίᾳ καὶ πρᾳότητι καὶ φιλίαις βασιλικαῖς τὰ πλεῖστα κατειργάσατο τῶν πραγμάτων, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· Φιλοποίμην δ', ἀγαθὸς πολεμιστὴς ὢν, καὶ διὰ τῶν ὅπλων ἐνεργὸς, ἔτι δ' εὐτυχὴς καὶ κατορθωτικὸς εὐθὺς ἐν ταῖς πρώταις γενόμενος μάχαις, ἅμα τῇ δυνάμει τὸ φρόνημα τῶν Ἀχαιῶν ηὔξησε, νικᾷν ἐθισθέντων μετ' αὐτοῦ, καὶ κατευτυχεῖν ἐν τοῖς πλείστοις ἀγῶσι.

IX. Πρῶτον μὲν οὖν τὰ περὶ τὰς τάξεις καὶ τοὺς ὁπλισμοὺς φαύλως ἔχοντα τοῖς Ἀχαιοῖς ἐκίνησεν. Ἐχρῶντο γὰρ θυρεοῖς μὲν εὐπετέσι διὰ λεπτότητα, καὶ στενωτέροις τοῦ περιστέλλειν τὰ σώματα, δόρασι δὲ μικροτέροις πολὺ τῶν σαρισσῶν· καὶ διὰ τοῦτο πλῆκται καὶ μάχιμοι πόῤῥωθεν ἦσαν ὑπὸ κουφότητος, προσμίξαντες δὲ τοῖς πολεμίοις, ἔλαττον εἶχον. Εἶδος δὲ τάξεως καὶ σχήματος εἰς σπεῖραν οὐκ ἦν σύνηθες· φάλαγγι δὲ χρώμενοι μήτε προβολὴν ἐχούσῃ, μήτε συνασπισμὸν, ὡς ἡ Μακεδόνων, ῥᾳδίως ἐξεθλίβοντο καὶ διεσπῶντο. Ταῦτα ὁ Φιλοποίμην διδάξας, ἔπεισεν αὐτοὺς ἀντὶ μὲν θυρεοῦ καὶ δόρατος ἀσπίδα λαβεῖν καὶ σάρισσαν, κράνεσι δὲ καὶ θώραξι καὶ περικνημῖσι πεφραγμένους, μόνιμόν καὶ βεβηκυῖαν ἀντὶ δρομικῆς καὶ πελταστικῆς μάχην ἀσκεῖν. Πείσας δὲ καθοπλίσασθαι τοὺς ἐν ἡλικίᾳ, πρῶτον μὲν ἐπῆρε θαῤῥεῖν, ὡς ἀμάχους γεγονότας· ἔπειτα

τὰς τρυφὰς αὐτῶν καὶ τὰς πολυτελείας ἄριστα μετεκόσμησεν. Ἀφελεῖν γὰρ οὐκ ἦν παντάπασιν ἐκ πολλοῦ νοσούντων τὸν κενὸν καὶ μάταιον ζῆλον, ἐσθῆτας ἀγαπώντων περιττὰς,
361 στρωμνάς τε βαπτομένων ἀλουργεῖς, καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. Ὁ δ', ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν, ταχὺ πάντας ἔπεισε καὶ παρώρμησε, τὰς καθ' ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας, ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς ὁρᾶσθαι καὶ κεκοσμημένους. Ἦν οὖν ἰδεῖν τὰ μὲν ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων καὶ Θηρικλείων, χρυσουμένων δὲ θωράκων, καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν· τὰ δὲ στάδια πώλων δαμαζομένων, καὶ νεανίσκων ὁπλομαχούντων· ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν κράνη καὶ πτερὰ βαφαῖς κοσμούμενα, καὶ χιτώνων ἱππικῶν καὶ στρατιωτικῶν χλαμύδων διηνθισμένων. Ἡ δ' ὄψις αὕτη τὸ θάρσος αὔξουσα, καὶ παρακαλοῦσα, τὴν ὁρμὴν ἐποίει φιλοπαράβολον καὶ πρόθυμον ἐπὶ τοὺς κινδύνους. Ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται, καὶ μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ὑπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπικλώσης τὴν διάνοιαν· ἡ δ' εἰς τὰ τοιαῦτα ῥώννυσι καὶ μεγαλύνει τὸν θυμόν· ὥσπερ Ὅμηρος ἐποίησε τὸν Ἀχιλλέα, τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς, ὑπὸ τῆς ὄψεως οἷον ὀργῶντα καὶ φλεγόμενον πρὸς τὴν δι' αὐτῶν ἐνέργειαν. Οὕτω δὲ κοσμήσας τοὺς νέους, ἐγύμναζε καὶ διεπόνει, ταῖς κινήσεσι προθύμως ὑπακούοντας καὶ φιλοτίμως. Καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο, ἄθραυστόν τι λαμβάνειν πύκνωμα δοκοῦσα, καὶ τὰ ὅπλα τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα, μεθ' ἡδονῆς διὰ λαμπρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων, ἐναγωνίσασθαί τε βουλομένων, καὶ διακριθῆναι τάχιστα πρὸς τοὺς πολεμίους.

X. Ἦν δὲ τότε τοῖς Ἀχαιοῖς ὁ πρὸς Μαχανίδαν πόλεμος, τὸν Λακεδαιμονίων τύραννον, ἀπὸ πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι Πελοποννησίοις. Ὡς οὖν εἰς τὴν Μαντίνειαν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ Φιλοποίμην ἐξήγαγε τὴν στρατιὰν ἐπ' αὐτόν. Ἐγγὺς δὲ τῆς πόλεως παρετάξαντο, πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δὲ ὁμοῦ τι ταῖς πολιτικαῖς δυνάμεσι. Γενομένου δὲ τοῦ ἀγῶ-

νος ἐν χερσὶν, ὁ Μαχανίδας τοῖς ξένοις τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστὰς καὶ Ταραντίνους τρεψάμενος, ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους, καὶ παραῤῥηγνύναι τὸ συνεστηκὸς, ἐξέπεσε διώκων, καὶ παρήλλαξε τὴν φάλαγγα τῶν Ἀχαιῶν ἐν τάξει μενόντων. Ὁ δὲ Φιλοποίμην, τηλικούτου πταίσματος ἐν ἀρχῇ γενομένου, καὶ τῶν πραγμάτων ἀπολωλέναι κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως προσεποιεῖτο παρορᾷν, καὶ μηδὲν ἡγεῖσθαι δεινόν· κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμάρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀποῤῥηγνυμένους, καὶ κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν, οὐδ' ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ' ἐάσας παρελθεῖν, καὶ διάσπασμα ποιῆσαι μέγα, πρὸς τοὺς ὁπλίτας εὐθὺς ἦγε τῶν Λακεδαιμονίων, ὁρῶν τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην· καὶ κατὰ κέρας παραδραμὼν ἐνέβαλε, μήτ' ἄρχοντος αὐτοῖς παρόντος, μήτε μάχεσθαι προσδεχομένοις. Νικᾷν γὰρ ἡγοῦντο καὶ κρατεῖν παντάπασιν, διώκοντα τὸν Μαχανίδαν ὁρῶντες. Ὠσάμενος δὲ τούτους φόνῳ πολλῷ (λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλίους ἀποθανεῖν), ὥρμησεν ἐπὶ τὸν Μαχανίδαν, ἐκ τῆς διώξεως ἀναστρέφοντα μετὰ τῶν ξένων. Τάφρου δὲ μεγάλης 362
καὶ βαθείας ἐν μέσῳ διειργούσης, παρεξήλαυνον ἀλλήλοις ἑκατέρωθεν· ὁ μὲν διαβῆναι καὶ φυγεῖν, ὁ δὲ τοῦτο κωλῦσαι βουλόμενος. Ἦν δ' ὄψις οὐχ ὡς στρατηγῶν μαχομένων, ἀλλ' ὥσπερ θηρίῳ πρὸς ἀλκὴν ὑπ' ἀνάγκης τρεπομένῳ δεινοῦ κυνηγέτου τοῦ Φιλοποίμενος συνεστῶτος. Ἔνθα ὁ μὲν ἵππος τοῦ τυράννου, ῥωμαλέος ὢν καὶ θυμοειδὴς, καὶ τοῖς μύωψιν αἱμαχθεὶς ἑκατέρωθεν, ἐπετόλμησε τῇ διαβάσει, καὶ προσβαλὼν τῇ τάφρῳ τὸ στῆθος, ἐβιάζετο τοῖς προσθίοις πέραν ἐρείσασθαι σκέλεσιν. Ἐν δὲ τούτῳ Σιμμίας καὶ Πολύαινος, οἵπερ ἀεὶ τῷ Φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπιζον, ὁμοῦ προσήλαυνον ἀμφότεροι, τὰς αἰχμὰς κλίναντες ἐναντίας. Φθάνει δ' αὐτοὺς ὁ Φιλοποίμην ἀπαντήσας τῷ Μαχανίδᾳ, καὶ τὸν ἵππον αὐτοῦ μετεωρίζοντα τὴν κεφαλὴν πρὸ τοῦ σώματος ὁρῶν, μικρὸν ἐνέκλινε τὸν ἴδιον, καὶ διαλαβὼν τὸ ξυστὸν, ἐκ χειρὸς ὠθεῖ, καὶ περιτρέπει τὸν ἄνδρα συνεπερείσας. Τοῦτ' ἔχων τὸ σχῆμα χαλκοῦς ἐν Δελφοῖς ἕστηκεν ὑπὸ τῶν Ἀχαιῶν, θαυμασάντων μάλιστα καὶ τὴν πρᾶξιν αὐτοῦ καὶ τὴν στρατηγίαν ἐκείνην.

XI. Λέγεται δὲ, τῆς τῶν Νεμείων πανηγύρεως ἐνεστώσης, στρατηγοῦντα τὸν Φιλοποίμενα τὸ δεύτερον, καὶ νενικηκότα μὲν οὐ πάλαι τὴν ἐν Μαντινείᾳ μάχην, τότε δὲ σχολὴν ἄγοντα διὰ τὴν ἑορτὴν, πρῶτον μὲν ἐπιδεῖξαι τοῖς Ἕλλησι κεκοσμημένην τὴν φάλαγγα, καὶ κινουμένην, ὥσπερ εἴθιστο, τοὺς τακτικοὺς ῥυθμοὺς μετὰ τάχους καὶ ῥώμης· ἔπειτα, κιθαρῳδῶν ἀγωνιζομένων, εἰς τὸ θέατρον παρελθεῖν, ἔχοντα τοὺς νεανίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι, καὶ τοῖς φοινικοῖς ὑποδύταις, ἀκμάζοντάς τε τοῖς σώμασιν ἅπαντας καὶ ταῖς ἡλικίαις παραλλήλους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἄρχοντα καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας ἐκ πολλῶν καὶ καλῶν ἀγώνων. Ἄρτι δ' αὐτῶν εἰσελθόντων κατὰ τύχην Πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς Τιμοθέου Πέρσας ἐνάρξασθαι·

Κλεινὸν ἐλευθερίας τεύχω μέγαν Ἑλλάδι κόσμον.

Ἅμα δὲ τῇ λαμπρότητι τῆς φωνῆς τοῦ περὶ τὴν ποίησιν ὄγκου συμπρέψαντος, ἐπίβλεψιν γενέσθαι τοῦ θεάτρου πανταχόθεν εἰς τὸν Φιλοποίμενα, καὶ κρότον μετὰ χαρᾶς, τῶν Ἑλλήνων τὸ παλαιὸν ἀξίωμα ταῖς ἐλπίσιν ἀναλαμβανόντων, καὶ τοῦ τότε φρονήματος ἔγγιστα τῷ θαῤῥεῖν γενομένων.

XII. Παρὰ δὲ τὰς μάχας καὶ τοὺς κινδύνους, ὥσπερ οἱ πῶλοι τοὺς συνήθεις ἐπιβάτας ποθοῦντες, ἐὰν ἄλλον φέρωσι, πτύρονται καὶ ξενοπαθοῦσιν· οὕτως ἡ δύναμις τῶν Ἀχαιῶν ἑτέρου στρατηγοῦντος ἠθύμει, καὶ πρὸς ἐκεῖνον ἐκάπταινε, καὶ μόνον ὀφθέντος, εὐθὺς ὀρθὴ καὶ δραστήριος ἦν διὰ τὸ θαῤῥεῖν, ἅτε δὴ καὶ τοὺς ἐναντίους αἰσθανόμενοι πρὸς ἕνα τοῦτον τῶν στρατηγῶν ἀντιβλέπειν οὐ δυναμένους, ἀλλὰ καὶ τὴν δόξαν αὐτοῦ καὶ τοὔνομα δεδοικότας· ὡς ἦν φανερὸν ἐξ ὧν ἔπρασσον. Φίλιππος μὲν γὰρ, ὁ τῶν Μακεδόνων βασιλεὺς, οἰόμενος, ἂν ἐκ ποδῶν ὁ Φιλοποίμην γένηται, πάλιν ὑποπτήξειν αὐτῷ τοὺς Ἀχαιοὺς, ἔπεμψεν εἰς Ἄργος κρύφα τοὺς ἀναιρήσοντας αὐτόν. Ἐπιγνωσθείσης δὲ τῆς ἐπιβουλῆς, παντάπασιν ἐξεμισήθη καὶ διεβλήθη πρὸς τοὺς Ἕλληνας. Βοιωτοὶ δὲ πολιορκοῦντες Μέγαρα, καὶ λήψεσθαι ταχέως ἐλπίζοντες, ἐξαίφνης λόγου προσπεσόντος αὐτοῖς, ὃς οὐκ ἦν ἀληθὴς, Φιλοποίμενα βοηθοῦντα τοῖς πολιορκουμένοις ἐγγὺς εἶναι, τὰς κλίμακας ἀφέντες ἤδη προς-

ἐρηρεισμένας τοῖς τείχεσιν, ᾤχοντο φεύγοντες. Νάβιδος δὲ,
τοῦ μετὰ Μαχανίδαν τυραννοῦντος Λακεδαιμονίων, Μεσσή-
νην ἄφνω καταλαβόντος, ἐτύγχανε μὲν ἰδιώτης ὢν τότε ὁ
Φιλοποίμην, καὶ δυνάμεως οὐδεμιᾶς κύριος· ἐπεὶ δὲ τὸν
στρατηγοῦντα τῶν Ἀχαιῶν Λύσιππον οὐκ ἔπειθε βοηθεῖν 363
τοῖς Μεσσηνίοις, ἀπολωλέναι κομιδῇ φάσκοντα τὴν πόλιν,
ἔνδον γεγονότων τῶν πολεμίων, αὐτὸς ἐβοήθει, τοὺς ἑαυτοῦ
πολίτας ἀναλαβὼν, οὔτε νόμον, οὔτε χειροτονίαν περιμεί-
ναντας, ἀλλ' ὡς διὰ παντὸς ἄρχοντι τῷ κρείττονι κατὰ φύ-
σιν ἑπομένους. Ἤδη δ' αὐτοῦ πλησίον ὄντος, ἀκούσας ὁ
Νάβις οὐχ ὑπέστη, καίπερ ἐν τῇ πόλει στρατοπεδεύων, ἀλλ'
ὑπεκδὺς διὰ πυλῶν ἑτέρων, κατὰ τάχος ἀπήγαγε τὴν δύνα-
μιν, εὐτυχίᾳ χρήσεσθαι δοκῶν, εἰ διαφύγοι· καὶ διέφυγε,
Μεσσήνη δ' ἠλευθέρωτο.

XIII. *Ταῦτα μὲν οὖν τὰ καλὰ τοῦ Φιλοποίμενος. Ἡ δ' εἰς Κρήτην αὖθις ἀποδημία, Γορτυνίων δεηθέντων, ὡς χρήσαιντο πολεμούμενοι στρατηγῷ, διαβολὴν ἔσχεν, ὅτι, τῆς πατρίδος αὐτοῦ πολεμουμένης ὑπὸ Νάβιδος, ἀπῆν φυγομαχῶν, ἢ φιλοτιμούμενος ἀκαίρως πρὸς ἑτέρους. Καίτοι συντόνως οὕτως ἐπολεμήθησαν Μεγαλοπολῖται κατὰ τὸν χρόνον ἐκεῖνον, ὥστε τοῖς μὲν τείχεσιν ἐνοικεῖν, σπείρειν δὲ τοὺς στενωπούς, περικεκομμένης τῆς χώρας, καὶ τῶν πολεμίων σχεδὸν ἐν ταῖς πύλαις στρατοπεδευόντων. Ὁ δὲ Κρησὶ πολεμῶν τηνικαῦτα, καὶ στρατηγῶν διαπόντιος, ἐγκλήματα παρεῖχε καθ' ἑαυτοῦ τοῖς ἐχθροῖς, ὡς ἀποδιδράσκων τὸν οἴκοι πόλεμον. Ἦσαν δέ τινες οἱ λέγοντες, ἑτέρους τῶν Ἀχαιῶν ᾑρημένων ἄρχοντας, ἰδιώτην ὄντα τὸν Φιλοποίμενα, χρῆσαι τὴν ἑαυτοῦ σχολὴν ἐφ' ἡγεμονίᾳ δεηθεῖσι τοῖς Γορτυνίοις. Ἦν γὰρ ἀλλότριος σχολῆς, καθάπερ ἄλλο τι χρῆμα, τὴν στρατηγικὴν καὶ πολεμικὴν ἀρετὴν ἔχειν διὰ παντὸς ἐν χρήσει καὶ τριβῇ βουλόμενος· ὡς καὶ τὸ περὶ Πτολεμαίου ποτὲ ῥηθὲν τοῦ βασιλέως ἀπεδήλωσεν. Ἐκεῖνον γὰρ ἐγκωμιαζόντων τινῶν, ὡς εὖ μὲν ἐξασκοῦντα τὸ στράτευμα καθ' ἡμέραν, εὖ δὲ γυμνάζοντα καὶ φιλοπόνως διὰ τῶν ὅπλων τὸ σῶμα· Καὶ τίς ἂν, ἔφη, βασιλέα θαυμάσειεν, ἐν τούτῳ τῆς ἡλικίας μὴ ἐπιδεικνύμενον, ἀλλὰ μελετῶντα; Χαλεπῶς δ' οὖν οἱ Μεγαλοπολῖται φέροντες ἐπὶ τούτῳ, καὶ προδεδόσθαι νομίζοντες, ἐπεχείρησαν ἀποξενοῦν αὐτόν· οἱ δ' Ἀχαιοὶ διε-*

κώλυσαν, Ἀρισταῖον πέμψαντες εἰς Μεγάλην πόλιν στρατηγόν· ὃς, καίπερ ὢν διάφορος τῷ Φιλοποίμενι περὶ τὴν πολιτείαν, οὐκ εἴασε τελεσθῆναι τὴν καταδίκην. Ἐκ δὲ τούτου, παρορώμενος ὑπὸ τῶν πολιτῶν ὁ Φιλοποίμην, ἀπέστησε πολλὰς τῶν περιοικίδων κωμῶν, λέγειν διδάξας, ὡς οὐ συνετέλουν, οὐδ' ἦσαν ἐξ ἀρχῆς ἐκείνων. Καὶ λεγούσαις ταῦτα φανερῶς συνηγωνίσατο, καὶ συγκατεστασίασε τὴν πόλιν ἐπὶ τῶν Ἀχαιῶν. Ταῦτα μὲν οὖν ὕστερον. Ἐν δὲ τῇ Κρήτῃ συνεπολέμει τοῖς Γορτυνίοις, οὐχ, ὡς Πελοποννήσιος ἀνὴρ καὶ Ἀρκὰς, ἁπλοῦν τινα καὶ γενναῖον πόλεμον, ἀλλὰ τὸ Κρητικὸν ἦθος ἐνδύς· καὶ τοῖς ἐκείνων σοφίσμασι καὶ δόλοις, κλωπείαις τε καὶ λοχισμοῖς χρώμενος ἐπ' αὐτοὺς, ταχὺ παῖδας ἀπέδειξεν ἀνόητα καὶ κενὰ πρὸς ἐμπειρίαν ἀληθινὴν πανουργοῦντας.

XIV. Ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ λαμπρὸς παρὰ τῶν ἐκεῖ πράξεων ἀνακομισθεὶς εἰς Πελοπόννησον, εὗρε τὸν μὲν Φίλιππον ὑπὸ τοῦ Τίτου καταπεπολεμημένον, τὸν δὲ Νάβιν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Ῥωμαίων πολεμούμενον. Ἐφ' ὃν εὐθὺς αἱρεθεὶς ἄρχων, καὶ ναυμαχίᾳ παραβαλλόμενος, τὸ τοῦ Ἐπαμινώνδου παθεῖν ἔδοξε, πολὺ τῆς περὶ αὐτὸν ἀρετῆς καὶ τῆς δόξης ἀφαιρεθεὶς, ἐν τῇ θαλάσσῃ κάκιον ἀγωνισάμενος. Πλὴν Ἐπαμινώνδαν μὲν ἔνιοι λέγουσιν, ὀκνοῦντα γεῦσαι τῶν κατὰ θάλασσαν ὠφελειῶν τοὺς πολίτας, ὅπως αὐτῷ μὴ λάθωσιν ἀντὶ μονίμων ὁπλιτῶν, κατὰ
364 Πλάτωνα, ναῦται γενόμενοι, καὶ διαφθαρέντες, ἄπρακτον ἐκ τῆς Ἀσίας καὶ τῶν νήσων ἀπελθεῖν ἑκουσίως. Φιλοποίμην δὲ τὴν ἐν τοῖς πεζοῖς ἐπιστήμην καὶ διὰ θαλάττης ἀρκέσειν αὐτῷ πρὸς τὸ καλῶς ἀγωνίσασθαι πεπεισμένος, ἔγνω τὴν ἄσκησιν, ἡλίκον μέρος ἐστὶ τῆς ἀρετῆς, καὶ πόσην ἐπὶ πάντα τοῖς ἐθισθεῖσι δύναμιν προστίθησιν. Οὐ γὰρ μόνον ἐν τῇ ναυμαχίᾳ διὰ τὴν ἀπειρίαν ἔλαττον ἔσχεν, ἀλλὰ καὶ ναῦν τινα, παλαιὰν μὲν, ἔνδοξον δὲ, δι' ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν· ὥστε, μὴ στεγούσης, κινδυνεῦσαι τοὺς πλέοντας. Πρὸς ταῦτα γινώσκων καταφρονοῦντας αὐτοῦ τοὺς πολεμίους, ὡς παντάπασι πεφευγότος ἐκ τῆς θαλάττης, καὶ πολιορκοῦντας ὑπερηφάνως τὸ Γύθιον, εὐθὺς ἐπέπλευσεν αὐτοῖς, οὐ προσδοκῶσιν, ἀλλ' ἐκλελυμένοις διὰ τὴν νίκην. Καὶ νυκτὸς ἐκβιβάσας τοὺς στρατιώτας καὶ προς-

αγαγὼν πῦρ ἐνῆκε ταῖς σκηναῖς, καὶ τὸ στρατόπεδον κατέκαυσε, καὶ πολλοὺς διέφθειρεν. Ὀλίγαις δ' ὕστερον ἡμέραις, καθ' ὁδὸν ἐν δυσχωρίαις τισὶν ἄφνω τοῦ Νάβιδος ἐπιφανέντος αὐτῷ, καὶ φοβήσαντος τοὺς Ἀχαιοὺς, ἀνέλπιστον ἡγουμένους τὴν σωτηρίαν ἐκ τόπων χαλεπῶν καὶ γεγονότων ὑποχειρίων τοῖς πολεμίοις, ὀλίγον χρόνον ἐπιστὰς, καὶ περιλαβὼν ὄψει τὴν τοῦ χωρίου φύσιν, ἐπέδειξε τὴν τακτικὴν τῶν ἄκρων τῆς πολεμικῆς τέχνην οὖσαν. Οὕτω μικρὰ κινήσας τὴν ἑαυτοῦ φάλαγγα, καὶ πρὸς τὰ παρόντα μεθαρμόσας, ἀθορύβως καὶ ῥᾳδίως διεκρούσατο τὴν ἀπορίαν, καὶ προσβαλὼν τοῖς πολεμίοις, τροπὴν ἰσχυρὰν ἐποίησεν. Ἐπεὶ δ' οὐ πρὸς τὴν πόλιν ἑώρα φεύγοντας, ἀλλὰ τῆς χώρας ἄλλον ἄλλῃ διασπειρόμενον (ὑλώδης δὲ καὶ περίβουνος ἦν πᾶσα καὶ δύσιππος ὑπὸ ῥείθρων καὶ φαράγγων), τὴν μὲν δίωξιν ἐπέσχε, καὶ κατεστρατοπέδευσεν ἔτι φωτὸς ὄντος· τεκμαιρόμενος δὲ τοὺς πολεμίους ἐκ τῆς φυγῆς καθ' ἕνα καὶ δύο πρὸς τὴν πόλιν ὑπάξειν σκοταίους, ἐλλοχίζει τοῖς περὶ τὸ ἄστυ ῥείθροις καὶ λόφοις πολλοὺς ἔχοντας ἐγχειρίδια τῶν Ἀχαιῶν. Ἐνταῦθα πλείστους ἀποθανεῖν συνέβη τῶν τοῦ Νάβιδος· ἅτε γὰρ οὐκ ἀθρόαν ποιούμενοι τὴν ἀναχώρησιν, ἀλλ' ὡς ἑκάστοις αἱ φυγαὶ συνετύγχανον, ὥσπερ ὄρνιθες ἡλίσκοντο περὶ τὴν πόλιν, εἰς τὰς τῶν πολεμίων χεῖρας καταίροντες.

XV. Ἐπὶ τούτοις ἀγαπώμενος καὶ τιμώμενος ἐκπρεπῶς ὑπὸ τῶν Ἑλλήνων ἐν τοῖς θεάτροις, φιλότιμον ὄντα τὸν Τίτον ἡσυχῇ παρελύπει. Καὶ γὰρ, ὡς Ῥωμαίων ὕπατος, ἀνδρὸς Ἀρκάδος ἠξίου θαυμάζεσθαι μᾶλλον ὑπὸ τῶν Ἀχαιῶν· καὶ ταῖς εὐεργεσίαις ὑπερβάλλειν οὐ παρὰ μικρὸν ἡγεῖτο, δι' ἑνὸς κηρύγματος ἐλευθερώσας τὴν Ἑλλάδα, ὅση Φιλίππῳ καὶ Μακεδόσιν ἐδούλευσεν. Ἐκ δὲ τούτου καταλύεται μὲν ὁ Τίτος τῷ Νάβιδι τὸν πόλεμον, ἀποθνήσκει δὲ ὁ Νάβις ὑπ' Αἰτωλῶν δολοφονηθείς. Τεταραγμένης δὲ τῆς Σπάρτης, ὁ Φιλοποίμην ἁρπάσας τὸν καιρὸν, ἐπιπίπτει μετὰ δυνάμεως· καὶ, τῶν μὲν ἀκόντων, τοὺς δὲ συμπείσας, προσηγάγετο καὶ μετεκόσμησεν εἰς τοὺς Ἀχαιοὺς τὴν πόλιν. Οὗ γενομένου, θαυμαστῶς μὲν εὐδοκίμησε παρὰ τοῖς Ἀχαιοῖς, προσκτησάμενος αὐτοῖς ἀξίωμα πόλεως τηλικαύτης καὶ δύναμιν (οὐ γὰρ ἦν μικρὸν, Ἀχαΐας μέρος γενέσθαι τὴν Σπάρτην)· ἀνέλαβε

δὲ καὶ Λακεδαιμονίων τοὺς ἀρίστους, φύλακα τῆς ἐλευθερίας
ἐκεῖνον ἐλπίσαντας ἕξειν. Διὸ καὶ τὴν Νάβιδος οἰκίαν καὶ
οὐσίαν ἐξαργυρισθεῖσαν, καὶ γενομένην εἴκοσι καὶ ἑκατὸν
ταλάντων, ἐψηφίσαντο δωρεὰν αὐτῷ δοῦναι, πρεσβείαν ὑπὲρ
τούτων πέμψαντες. Ἔνθα δὴ καὶ διεφάνη καθαρὸς ἐκεῖνος
ὁ ἀνὴρ, οὐ δοκῶν μόνον, ἀλλὰ καὶ ὢν ἄριστος. Πρῶτον
μὲν γὰρ οὐδεὶς ἐβούλετο τῶν Σπαρτιατῶν ἀνδρὶ τοιούτῳ
365 διαλέγεσθαι περὶ δωροδοκίας, ἀλλὰ δεδοικότες καὶ ἀναδυό-
μενοι, προεβάλλοντο τὸν ξένον αὐτοῦ, Τιμόλαον. Ἔπειτα
δ' αὐτὸς ὁ Τιμόλαος, ὡς ἦλθεν εἰς Μεγάλην πόλιν, ἑστια-
θεὶς παρὰ τῷ Φιλοποίμενι, καὶ τὴν σεμνότητα τῆς ὁμιλίας
αὐτοῦ, καὶ τὴν ἀφέλειαν τῆς διαίτης, καὶ τὸ ἦθος ἐγγύθεν,
οὐδαμῇ προσιτὸν, οὐδὲ εὐάλωτον ὑπὸ χρημάτων, κατανοή-
σας, ἀπεσιώπησε περὶ τῆς δωρεᾶς· ἑτέραν δέ τινα πρόφασιν
τῆς πρὸς αὐτὸν ὁδοῦ ποιησάμενος, ᾤχετο ἀπιών· καὶ πάλιν
ἐκ δευτέρου πεμφθεὶς ταὐτὸν ἔπαθεν. Τρίτῃ δ' ὁδῷ μόλις
ἐντυχὼν, ἐδήλωσε τὴν προθυμίαν τῆς πόλεως. Ὁ δὲ Φιλο-
ποίμην ἡδέως ἀκούσας, ἧκεν αὐτὸς εἰς Λακεδαίμονα, καὶ
συνεβούλευσεν αὐτοῖς μὴ τοὺς φίλους καὶ ἀγαθοὺς δεκάζειν,
ὧν προῖκα τῆς ἀρετῆς ἔξεστιν ἀπολαύειν, ἀλλὰ τοὺς πονη-
ροὺς καὶ τὴν πόλιν ἐν τῷ συνεδρίῳ καταστασιάζοντας ὠνεῖ-
σθαι καὶ διαφθείρειν· ἵνα τῷ λαβεῖν ἐπιστομισθέντες, ἧττον
ἐνοχλοῖεν αὐτοῖς. Βέλτιον γὰρ εἶναι τῶν ἐχθρῶν παραιρεῖ-
σθαι τὴν παῤῥησίαν, ἢ τῶν φίλων. Οὕτω μὲν ἦν πρὸς χρή-
ματα λαμπρός.

XVI. Ἐπεὶ δὲ πάλιν τοὺς Λακεδαιμονίους νεωτερίζειν ἀκούσας ὁ στρατηγὸς τῶν Ἀχαιῶν, Διοφάνης, ἐβούλετο κολάζειν, οἱ δ', εἰς πόλεμον καθιστάμενοι, διετάρασσον τὴν Πελοπόννησον, ἐπειρᾶτο πραΰνειν καὶ καταπαύειν τὸν Διοφάνη τῆς ὀργῆς ὁ Φιλοποίμην· διδάσκων τὸν καιρὸν, ὡς Ἀντιόχου τοῦ βασιλέως, καὶ Ῥωμαίων ἐν τῇ Ἑλλάδι τηλικούτοις αἰωρουμένων στρατοπέδοις, ἐκεῖσε χρὴ τὸν ἄρχοντα τὴν γνώμην ἔχειν, τὰ δ' οἰκεῖα μὴ κινεῖν, ἀλλὰ καὶ παριδεῖν τι καὶ παρακοῦσαι τῶν ἁμαρτανομένων. Οὐ προσέχοντος δὲ τοῦ Διοφάνους, ἀλλ' εἰς τὴν Λακωνικὴν ἐμβαλόντος ἅμα τῷ Τίτῳ, καὶ βαδιζόντων εὐθὺς ἐπὶ τὴν πόλιν, ἀγανακτήσας ὁ Φιλοποίμην, ἔργον οὐ νόμιμον, οὐδ' ἀπηκριβωμένον ἐκ τῶν δικαίων, ἀλλὰ μέγα καὶ μεγάλῳ φρονήματι τολ-

μήσας, εἰς τὴν Λακεδαίμονα παρῆλθε· καὶ τόν τε στρατηγὸν τῶν Ἀχαιῶν, καὶ τὸν ὕπατον τῶν Ῥωμαίων, ἰδιώτης ὢν ἀπέκλεισε, τὰς δ' ἐν τῇ πόλει ταραχὰς ἔπαυσε, καὶ κατέστησε τοὺς Λακεδαιμονίους πάλιν εἰς τὸ κοινὸν, ὥσπερ ἐξ ἀρχῆς ἦσαν. Χρόνῳ δ' ὕστερον ἐγκαλέσας τι τοῖς Λακεδαιμονίοις στρατηγῶν ὁ Φιλοποίμην, τὰς μὲν φυγὰς κατήγαγεν εἰς τὴν πόλιν, ὀγδοήκοντα δὲ Σπαρτιάτας ἀπέκτεινεν, ὡς Πολύβιος φησίν· ὡς δ' Ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους. Τὰ δὲ τείχη καθεῖλε, χώραν δὲ πολλὴν ἀποτεμόμενος, προσένειμε τοῖς Μεγαλοπολίταις. Ὅσοι δ' ἦσαν ὑπὸ τῶν τυράννων ἀποδεδειγμένοι πολῖται τῆς Σπάρτης, μετῴκισεν ἅπαντας, ἀπάγων εἰς Ἀχαΐαν, πλὴν τρισχιλίων. Τούτους δὲ ἀπειθοῦντας, καὶ μὴ βουλομένους ἀπελθεῖν ἐκ τῆς Λακεδαίμονος, ἐπώλησεν· εἶθ' οἷον ἐφυβρίζων, ἀπὸ τῶν χρημάτων τούτων ἐν Μεγαλοπόλει στοὰν ᾠκοδόμησεν. Ἐμπιπλάμενος δὲ τῶν Λακεδαιμονίων, καὶ παρ' ἀξίαν πεπραγόσιν ἐπεμβαίνων, τὸ περὶ τὴν πολιτείαν ἔργον ὠμότατον ἐξειργάσατο καὶ παρανομώτατον. Ἀνεῖλε γὰρ καὶ διέφθειρε τὴν Λυκούργειον ἀγωγὴν, ἀναγκάσας τοὺς παῖδας καὶ τοὺς ἐφήβους τὴν Ἀχαϊκὴν ἀντὶ τῆς πατρίου παιδείαν μεταλαβεῖν, ὡς οὐδέποτε μικρὸν ἐν τοῖς Λυκούργου νόμοις φρονήσοντας. Τότε μὲν οὖν ὑπὸ συμφορῶν μεγάλων, ὥσπερ νεῦρα τῆς πόλεως ἐκτεμεῖν τῷ Φιλοποίμενι παρασχόντες, ἐγένοντο χειροήθεις καὶ ταπεινοί· χρόνῳ δ' ὕστερον αἰτησάμενοι παρὰ Ῥωμαίων, τὴν μὲν Ἀχαϊκὴν ἔφυγον πολιτείαν, ἀνέλαβον δὲ καὶ κατεστήσαντο τὴν πάτριον, ὡς ἦν ἀνυστὸν ἐκ κακῶν καὶ φθορᾶς τηλικαύτης.

XVII. Ἐπεὶ δὲ Ῥωμαίοις ὁ πρὸς Ἀντίοχον ἐν τῇ Ἑλλάδι 366
συνέστη πόλεμος, ἦν μὲν ἰδιώτης ὁ Φιλοποίμην· ὁρῶν δὲ τὸν Ἀντίοχον αὐτὸν ἐν Χαλκίδι καθήμενον, περὶ γάμων καὶ παρθένων ἔρωτας οὐ καθ' ὥραν σχολάζοντα, τοὺς δὲ Σύρους ἐν ἀταξίᾳ πολλῇ καὶ χωρὶς ἡγεμόνων ἐν ταῖς πόλεσι πλαζομένους καὶ τρυφῶντας, ἤχθετο μὴ στρατηγῶν τότε τῶν Ἀχαιῶν, καὶ Ῥωμαίοις ἔλεγε φθονεῖν τῆς νίκης. Ἐγὼ γὰρ ἂν, ἔφη, στρατηγῶν, ἐν τοῖς καπηλείοις κατέκοψα τούτους πάντας. Ἐπεὶ δὲ νικήσαντες οἱ Ῥωμαῖοι τὸν Ἀντίοχον, ἐνεφύοντο τοῖς Ἑλληνικοῖς μᾶλλον ἤδη, καὶ περιεβάλλοντο τῇ δυνάμει τοὺς Ἀχαιοὺς, ὑποκατακλινομένων αὐτοῖς τῶν δη-

μαγωγῶν· ἡ δ' ἰσχὺς ἐπὶ πάντα πολλὴ μετὰ τοῦ δαίμονος ἐχώρει, καὶ τὸ τέλος ἐγγὺς ἦν, εἰς ὃ τὴν τύχην ἔδει περιφερομένην ἐξικέσθαι· καθάπερ ἀγαθὸς κυβερνήτης πρὸς κῦμα διερειδόμενος ὁ Φιλοποίμην, τὰ μὲν ἐνδιδόναι καὶ παρείκειν ἠναγκάζετο τοῖς καιροῖς, περὶ δὲ τῶν πλείστων διαφερόμενος, τοὺς τῷ λέγειν καὶ πράττειν ἰσχύοντας ἀντισπᾷν ἐπειρᾶτο πρὸς τὴν ἐλευθερίαν. Ἀρισταίου δὲ, τοῦ Μεγαλοπολίτου, δυναμένου μὲν ἐν τοῖς Ἀχαιοῖς μέγα, τοὺς δὲ Ῥωμαίους ἀεὶ θεραπεύοντος, καὶ τοὺς Ἀχαιοὺς μὴ οἰομένου δεῖν ἐναντιοῦσθαι, μηδ' ἀχαριστεῖν ἐκείνοις ἐν τῷ συνεδρίῳ, λέγεται τὸν Φιλοποίμενα σιωπᾷν ἀκούοντα, καὶ βαρέως φέρειν· τέλος δὲ ὑπ' ὀργῆς δυσανασχετοῦντα πρὸς τὸν Ἀρισταῖον εἰπεῖν· „Ὦ ἄνθρωπε, τί σπεύδεις τὴν πεπρωμένην τῆς Ἑλλάδος ἐπιδεῖν;“ Μανίου δὲ, τοῦ Ῥωμαίων ὑπάτου, νενικηκότος μὲν Ἀντίοχον, αἰτουμένου δὲ παρὰ τῶν Ἀχαιῶν, ὅπως ἐάσωσι τοὺς Λακεδαιμονίων φυγάδας κατελθεῖν, καὶ Τίτου ταὐτὰ τῷ Μανίῳ περὶ τῶν φυγάδων ἀξιοῦντος, διεκώλυσεν ὁ Φιλοποίμην, οὐ τοῖς φυγάσι πολεμῶν, ἀλλὰ βουλόμενος δι' αὐτοῦ καὶ τῶν Ἀχαιῶν, ἀλλὰ μὴ Τίτου, μηδὲ Ῥωμαίων χάριτι, τοῦτο πραχθῆναι· καὶ στρατηγῶν εἰς τοὐπιὸν, αὐτὸς κατήγαγε τοὺς φυγάδας. Οὕτως εἶχέ τι πρὸς τὰς ἐξουσίας ὑπὸ φρονήματος δύσερι καὶ φιλόνεικον.

XVIII. Ἤδη δὲ γεγονὼς ἔτος ἑβδομηκοστὸν, ὄγδοον δὲ τῶν Ἀχαιῶν στρατηγῶν, ἤλπιζεν οὐ μόνον ἐκείνην τὴν ἀρχὴν ἀπολέμως διάξειν, ἀλλὰ καὶ τοῦ βίου τὸ λοιπὸν αὐτῷ μεθ' ἡσυχίας καταβιῶναι τὰ πράγματα παρέξειν. Ὡς γὰρ αἱ νόσοι ταῖς τῶν σωμάτων ῥώμαις συναπομαραίνεσθαι δοκοῦσιν, οὕτως ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν ἐπιλιπούσης τῆς δυνάμεως, ἔληγε τὸ φιλόνεικον. Οὐ μὴν ἀλλὰ Νέμεσίς τις, ὥσπερ ἀθλητὴν εὐδρομοῦντα, πρὸς τέρμασι τοῦ βίου κατέβαλε. Λέγεται γὰρ, ἔν τινι συλλόγῳ τῶν παρόντων ἐπαινούντων ἄνδρα, δεινὸν εἶναι δοκοῦντα περὶ στρατηγίαν, εἰπεῖν τὸν Φιλοποίμενα· „Καὶ πῶς ἄξιον ἐκείνου λόγον ἔχειν τοῦ ἀνδρὸς, ὅστις ἥλω ζῶν ὑπὸ τῶν πολεμίων;“ Μεθ' ἡμέρας δ' ὀλίγας Δεινοκράτης ὁ Μεσσήνιος, ἄνθρωπος ἰδίᾳ τε τῷ Φιλοποίμενι προσκεκρουκὼς, καὶ τοῖς ἄλλοις ἐπαχθὴς διὰ πονηρίαν καὶ ἀκολασίαν, τήν τε Μεσσήνην ἀπέστησε τῶν Ἀχαιῶν, καὶ κώμην τὴν καλουμένην Κολωνίδα προσηγγέλθη μέλ-

μέλλων καταλαμβάνειν. Ὁ δὲ Φιλοποίμην ἔτυχε μὲν ἐν Ἄρ-
γει πυρέσσων· πυθόμενος δὲ ταῦτα συνέτεινεν εἰς Μεγάλην
πόλιν, ἡμέρᾳ μιᾷ σταδίους πλείονας, ἢ τετρακοσίους. Κἀ-
κεῖθεν εὐθὺς ἐβοήθει, τοὺς ἱππεῖς ἀναλαβὼν, οἵπερ ἦσαν
ἐνδοξότατοι μὲν τῶν πολιτῶν, νέοι δὲ κομιδῇ, δι' εὔνοιαν
τοῦ Φιλοποίμενος καὶ ζῆλον ἐθελονταὶ συστρατεύοντες. Ἱπ-
πασάμενοι δὲ πρὸς τὴν Μεσσήνην, καὶ περὶ τὸν Εὐάνδρου
λόφον ἀπαντῶντι τῷ Δεινοκράτει συμπεσόντες, ἐκεῖνον μὲν
ἐτρέψαντο· τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν Μεσση- 367
νίων παρεφύλαττον, ἐξαίφνης ἐπιφερομένων, καὶ τῶν πρό-
τερον ἡττημένων, ὡς τούτους κατεῖδον, αὖθις ἀνὰ τοὺς λό-
φους ἀθροιζομένων, δείσας ὁ Φιλοποίμην κυκλωθῆναι, καὶ
τῶν ἱππέων φειδόμενος, ἀνεχώρει διὰ τόπων χαλεπῶν, αὐ-
τὸς οὐραγῶν, καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις, καὶ
ὅλως ἐπισπώμενος ἐφ' ἑαυτὸν, οὐ τολμώντων ἀντεμβαλεῖν
ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν.
Ἀφιστάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους, καὶ καθ'
ἕνα παραπέμπων, ἔλαθεν ἐν πολλοῖς ἀπομονωθεὶς πολεμίοις.
Καὶ συνάψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, πόῤῥω-
θεν δὲ βαλλόμενος καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ
παράκρημνα, χαλεπῶς μετεχειρίζετο καὶ κατέξαινε τὸν ἵππον.
Αὐτῷ δὲ τὸ μὲν γῆρας ὑπ' ἀσκήσεως πολλῆς ἐλαφρὸν ἦν,
καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι· τότε δὲ, καὶ διὰ
τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος, καὶ διὰ τὴν
ὁδοιπορίαν κατακόπου, βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη,
σφαλεὶς ὁ ἵππος εἰς τὴν γῆν κατέβαλεν. Σκληροῦ δὲ τοῦ
πτώματος γενομένου, καὶ τῆς κεφαλῆς παθούσης, ἔκειτο πο-
λὺν χρόνον ἄναυδος· ὥστε καὶ τοὺς πολεμίους τεθνάναι δό-
ξαντας αὐτὸν, ἐπιχειρεῖν στρέφειν τὸ σῶμα καὶ σκυλεύειν.
Ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἀθρόοι περιπεσόν-
τες ἀπέστρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω, καὶ δήσαντες ἦγον,
ὕβρει χρώμενοι πολλῇ καὶ λοιδορίᾳ κατ' ἀνδρὸς, οὐδ' ὄναρ
ἄν ποτε παθεῖν ὑπὸ Δεινοκράτους ταῦτα προσδοκήσαντος.

XIX. Οἱ δ' ἐν τῇ πόλει, τῇ μὲν ἀγγελίᾳ θαυμαστῶς
ἐπαρθέντες, ἠθροίζοντο περὶ τὰς πύλας. Ὡς δ' εἶδον ἑλκό-
μενον τὸν Φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν
ἔμπροσθεν ἔργων καὶ τροπαίων, ἠλέησαν οἱ πλεῖστοι καὶ
συνήλγησαν· ὥστε καὶ δακρῦσαι, καὶ τὴν ἀνθρωπίνην ἐκ-

φλαυρίσαι δύναμιν, ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. Οὕτω
δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς
μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν, καὶ τῆς ἐλευθε-
ρίας, ἣν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον.
Ὀλίγοι δ' ἦσαν, οἳ, τῷ Δεινοκράτει χαριζόμενοι, στρεβλοῦν
τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ
δυσμείλικτον, αὐτῷ τε Δεινοκράτει φοβερώτερον, εἰ διαφύ-
γοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. Οὐ
μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρὸν,
οἴκημα κατάγειον, οὔτε πνεῦμα λαμβάνον, οὔτε φῶς ἔξω-
θεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κα-
τακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιῤῥάξαν-
τες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. Οἱ δ' ἱππεῖς τῶν
Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὐτοὺς, ὡς οὐδαμοῦ
φανερὸς ἦν ὁ Φιλοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν
χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόν-
τες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώ-
ζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα
τοῦ ζῆν δι' αὐτούς· ἔπειτα προϊόντες ἅμα, καὶ πολυπρα-
γμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον
εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. Οἱ δὲ συμφορὰν ποιούμενοι
μεγάλην, ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσ-
σηνίων, πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο
στρατεύειν.

XX. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοκρά-
της, μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δε-
δοικὼς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ
νὺξ ἐπῆλθε, καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοί-
ξας τὸ δεσμωτήριον, εἰσέπεμψε δημόσιον οἰκέτην, φάρμακον
368 κομίζοντα, προσενεγκεῖν, καὶ παραστῆναι, μέχρις ἂν ἐκπίῃ,
κελεύσας. Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ
καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ
φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύ-
λικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας,
ἀνεκάθισε. Καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἱπ-
πέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. Εἰπόντος
δὲ τἀνθρώπου, διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ
κεφαλῇ, καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄνθρωπον· Εὖ λέ-

γεις, εἶπεν, εἰ μὴ πάντα κακῶς πεπράχαμεν. Ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὐτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

XXI. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἧκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν· οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. Καὶ Δεινοκράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο· τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὑτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τούτους ἐν αἰτίαις ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους, αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην· ἐκόμιζεν δ' ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς, Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. Οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶντες. Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. Ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον

καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος· ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον· ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

---

369 Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. Τὸ δ' ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. Οὐ μὴν ὁμοίως· ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργός· καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. Φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε· Τίτος δὲ τῆς

περὶ Τάραντα χώρας, καὶ Τάραντος αὐτοῦ, τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κῶνσαν, ἄρχων ᾑρέθη καὶ οἰκιστής.

II. Τοῦτο δ' αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰςβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις, οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν ἡ Μακεδόνων ἀρχὴ, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία, καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος ἡ τῶν Ἑλλήνων δύναμις· ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον, ἢ πολέμῳ, χρώμενος, ἐν- 370
τυγχάνοντί τε προσῆν πιθανότης, καὶ πρᾳότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δ' ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρίφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις, ὕστερον ἐξόρ-

μησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ, Λεύκιον, ἄρχοντα νεῶν συστρατεύειν, καὶ τῶν μετὰ Σκηπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δ' Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβὼν, ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι, πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. Εἰσὶ δ' ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσιν. Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπὸν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

IV. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. Ὁ δὲ δεδοικὼς, μὴ πόῤῥω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν

ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ
τῶν ἄκρων. Γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαι-
ωτὴν Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν,
εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα φόβῳ τοῦ Φιλίππου
συναγωνιζόμενον. Ὧι πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρ-
χον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακο-
σίους. Ἡγοῦντο δ' οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν
ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τό-
πους, ὥδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. Καὶ γὰρ ἦν 871
διχόμηνος. Ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας
ἡμέρας διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾶν τοῖς ἀκρο-
βολισμοῖς τοὺς πολεμίους. Καθ' ἣν δ' ἔμελλον ὑπερφανή-
σεσθαι τῶν ἄκρων οἱ περιϊόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ,
πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δύ-
ναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὄρθιος
ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ
συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας. Τῶν δ'
ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι, καὶ ταῖς
τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε, καὶ
καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος ὁμίχλη, πόῤῥωθεν ἀνα-
τέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε·
κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων. Οἱ
δὲ Ῥωμαῖοι δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν
ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. Ἐπεὶ δὲ μᾶλλον
αὐξανόμενος, καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χω-
ρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλιος, οἱ μὲν ἀλαλάξαντες ἐπέ-
βαινον ἐῤῥωμένως, καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς
πολεμίους, οἱ δ' ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

V. Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ
δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δί-
ωξιν. Χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι
διαρπάσαντες, ἐκράτουν τῶν στενῶν, καὶ διώδευον τὴν
Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥστε
τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ
τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους, οὐδ' εὐποροῦντας
ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης.
Ὁ γὰρ Τίτος πυνθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύ-
γοντι τὴν Θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους ἐκ

τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις κατακίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος, ἢ βάρος, ἁρπαγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη Ῥωμαίοις, ἐφιλοτιμεῖτο, καὶ παρεκάλει τοὺς στρατιώτας, ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. Καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. Προσεχώρουν μὲν γὰρ αἱ πόλεις ἁψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς Πυλῶν Ἕλληνες ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς πρὸς τὸν Τίτον. Ἀχαιοὶ δὲ τὴν Φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν. Ὀπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον, ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδε τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν· οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. Ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι' ὅπλων πάντα καταστρεφόμενος καὶ δουλούμενος, εἶτ' ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ, καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε καὶ διάλεκτον Ἕλληνι, καὶ τιμῆς ἀληθοῦς ἐραστῇ, θαυμασίως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. Ἐπεὶ δὲ καὶ Φιλίππῳ, δοκοῦντι συμβατικῶς ἔχειν, εἰς ταὐτὸν ἐλθὼν, προὔτεινεν εἰρήνην καὶ φιλίαν ἐπὶ
372 τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾷν, καὶ τὰς φρουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο· παντάπασι δὴ τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέστη, Ῥωμαίους πολεμήσοντας ἥκειν, οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσι.

VI. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ· τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. Ὁ δ', ἐντυχὼν αὐτοῖς φιλανθρώπως καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ' ὁδὸν, τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος, καὶ παρ-

άγων ἐπίτηδες, ἄχρι τοῦ τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. Οὕτω δὲ προάγων, συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν· ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο. Καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν, ἔπειθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ, καὶ συνεξορμῶντος τοὺς Θηβαίους. Ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικε, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς, ἢ ῥεύματος, ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσε, καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς Ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

VII. Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην, ἀπέστειλε καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ, τοῦ πολέμου μένοντος· εἰ δὲ μὴ, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. Φιλότιμος γὰρ ὢν ἰσχυρῶς, ἐδεδίει, πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρου στρατηγοῦ, τὴν δόξαν ἀφαιρεθῆναι. Διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν Φίλιππον, ὧν ἔχρηζε, τυχεῖν, καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα, καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς Θετταλίαν ἐπὶ τὸν Φιλίππου πόλεμον ὥρμησεν, ὑπὲρ ἑξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν Αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους καὶ ἱππεῖς τετρακοσίους παρεῖχον. Ἦν δὲ καὶ τοῦ Φιλίππου τὸ στράτευμα τῷ πλήθει παραπλήσιον. Ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλους, καὶ γενόμενοι περὶ τὴν Σκοτοῦσσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, οὐχ, ὅπερ εἰκὸς ἦν, πρὸς δέους ἔλαβον οἱ στρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληροῦντο· Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖστον ἦν παρ' αὐτοῖς· Μακεδόνες δὲ Ῥωμαίους Περσῶν ἡγούμενοι διαφέρειν, ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρου Φίλιππον. Ὁ μὲν οὖν Τίτος παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους, ὡς ἐν τῷ καλλίστῳ θεάτρῳ, τῇ Ἑλλάδι, μέλλοντας ἀγωνίζεσθαι πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν. Ὁ δὲ Φίλιππος, εἴτε ὑπὸ τύχης, εἴτε ὑπὸ σπουδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον

φλαυρίσαι δύναμιν, ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. Οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν, καὶ τῆς ἐλευθερίας, ἣν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον. Ὀλίγοι δ' ἦσαν, οἳ, τῷ Δεινοκράτει χαριζόμενοι, στρεβλοῦν τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον, αὐτῷ τε Δεινοκράτει φοβερώτερον, εἰ διαφύγοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. Οὐ μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρὸν, οἴκημα κατάγειον, οὔτε πνεῦμα λαμβάνον, οὔτε φῶς ἔξωθεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κατακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιῤῥάξαντες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. Οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὐτοὺς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φιλοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτούς· ἔπειτα προϊόντες ἅμα, καὶ πολυπραγμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. Οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην, ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσσηνίων, πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο στρατεύειν.

XX. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοκράτης, μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικὼς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε, καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον, εἰσέπεμψε δημόσιον οἰκέτην, φάρμακον
368 κομίζοντα, προσενεγκεῖν, καὶ παραστῆναι, μέχρις ἂν ἐκπίη, κελεύσας. Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθισε. Καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἱππέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. Εἰπόντος δὲ τἀνθρώπου, διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄνθρωπον· Εὖ λέ-

γεῖς, εἶπεν, εἰ μὴ πάντα κακῶς πεπράχαμεν. Ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὐτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

XXI. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἧκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν· οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. Καὶ Δεινοκράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο· τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὐτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τούτους ἐν αἰτίαις ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους, αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην· ἐκόμιζεν δ' ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς, Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. Οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶντες. Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. Ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον

καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος· ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον· ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

---

369 Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. Τὸ δ' ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. Οὐ μὴν ὁμοίως· ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργός· καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. Φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε· Τίτος δὲ τῆς

περὶ Τάραντα χώρας, καὶ Τάραντος αὐτοῦ, τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κῶνσαν, ἄρχων ᾑρέθη καὶ οἰκιστής.

II. Τοῦτο δ' αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις, οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν ἡ Μακεδόνων ἀρχὴ, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία, καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος ἡ τῶν Ἑλλήνων δύναμις· ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον, ἢ πολέμῳ, χρώμενος, ἐν- 370
τυγχάνοντί τε προσῆν πιθανότης, καὶ πρᾳότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δ' ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρῖφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις, ὕστερον ἐξώρ-

μησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ, Λεύκιον, ἄρχοντα νεῶν συστρατεύειν, καὶ τῶν μετὰ Σκηπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δ' Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβὼν, ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι, πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. Εἰσὶ δ' ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσιν. Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπὸν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

IV. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. Ὁ δὲ δεδοικὼς, μὴ πόῤῥω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν

ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. Γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα φόβῳ τοῦ Φιλίππου συναγωνιζόμενον. Ὧι πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. Ἡγοῦντο δ' οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὥδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. Καὶ γὰρ ἦν 871
διχόμηνος. Ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾷν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. Καθ' ἣν δ' ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων οἱ περιϊόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὄρθιος ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας. Τῶν δ' ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι, καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε, καὶ καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος ὁμίχλη, πόῤῥωθεν ἀνατέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε· κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων. Οἱ δὲ Ῥωμαῖοι δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. Ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος, καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χωρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλιος, οἱ μὲν ἀλαλάξαντες ἐπέβαινον ἐῤῥωμένως, καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους, οἱ δ' ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

V. Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. Χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι διαρπάσαντες, ἐκράτουν τῶν στενῶν, καὶ διώδευον τὴν Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥστε τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους, οὐδ' εὐποροῦντας ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης. Ὁ γὰρ Τίτος πυνθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύγοντι τὴν Θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους ἐκ

τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις κατεπίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος, ἢ βάρος, ἁρπαγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη Ῥωμαίοις, ἐφιλοτιμεῖτο, καὶ παρεκάλει τοὺς στρατιώτας, ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. Καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. Προσεχώρουν μὲν γὰρ αἱ πόλεις ἁψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς Πυλῶν Ἕλληνες ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς πρὸς τὸν Τίτον. Ἀχαιοὶ δὲ τὴν Φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν. Ὀπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον, ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδε τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν· οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. Ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι' ὅπλων πάντα καταστρεφόμενος καὶ δουλούμενος, εἶτ' ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ, καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε καὶ διάλεκτον Ἕλληνι, καὶ τιμῆς ἀληθοῦς ἐραστῇ, θαυμασίως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. Ἐπεὶ δὲ καὶ Φιλίππῳ, δοκοῦντι συμβατικῶς ἔχειν, εἰς ταὐτὸν ἐλθὼν, προὔτεινεν εἰρήνην καὶ φιλίαν ἐπὶ
372 τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾶν, καὶ τὰς φρουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο· παντάπασι δὴ τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέστη, Ῥωμαίους πολεμήσοντας ἥκειν, οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσι.

VI. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ· τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. Ὁ δ', ἐντυχὼν αὐτοῖς φιλανθρώπως καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ' ὁδὸν, τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος, καὶ παρ-

άγων ἐπίτηδες, ἄχρι τοῦ τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. Οὕτω δὲ προάγων, συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν· ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο. Καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν; ἔπειθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ, καὶ συνεξορμῶντος τοὺς Θηβαίους. Ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικε, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς, ἢ ῥεύματος, ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσε, καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς Ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

VII. Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην, ἀπέστειλε καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ, τοῦ πολέμου μένοντος· εἰ δὲ μὴ, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. Φιλότιμος γὰρ ὢν ἰσχυρῶς, ἐδεδίει, πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρου στρατηγοῦ, τὴν δόξαν ἀφαιρεθῆναι. Διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν Φίλιππον, ὧν ἔχρῃζε, τυχεῖν, καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα, καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς Θετταλίαν ἐπὶ τὸν Φιλίππου πόλεμον ὥρμησεν, ὑπὲρ ἑξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν Αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους καὶ ἱππεῖς τετρακοσίους παρεῖχον. Ἦν δὲ καὶ τοῦ Φιλίππου τὸ στράτευμα τῷ πλήθει παραπλήσιον. Ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλους, καὶ γενόμενοι περὶ τὴν Σκοτοῦσσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, οὐχ, ὅπερ εἰκὸς ἦν, πρὸς δέους ἔλαβον οἱ στρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληροῦντο· Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖστον ἦν παρ' αὐτοῖς· Μακεδόνες δὲ Ῥωμαίους Περσῶν ἡγούμενοι διαφέρειν, ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρου Φίλιππον. Ὁ μὲν οὖν Τίτος παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους, ὡς ἐν τῷ καλλίστῳ θεάτρῳ, τῇ Ἑλλάδι, μέλλοντας ἀγωνίζεσθαι πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν. Ὁ δὲ Φίλιππος, εἴτε ὑπὸ τύχης, εἴτε ὑπὸ σπουδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον

ὑψηλὸν ἔξω τοῦ χάρακος, ἐπὶ τοῦτο προβὰς, ἤρξατο μὲν,
οἷα πρὸ μάχης φιλεῖ, διαλέγεσθαι, καὶ παρορμᾷν· ἀθυμίας
δὲ δεινῆς πρὸς τὸν οἰωνὸν ἐμπεσούσης, διαταραχθεὶς ἐπέσχε
τὴν ἡμέραν ἐκείνην.

VIII. Τῇ δ' ὑστεραίᾳ περὶ τὸν ὄρθρον, ἐκ μαλακῆς καὶ
νοτίου νυκτὸς, εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων, ἀνεπίμ-
πλατο ζόφου βαθέος πᾶν τὸ πεδίον, καὶ κατῄει παχὺς ἐκ
τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν στρατοπέδων, εὐθὺς ἀρ-
χομένης ἡμέρας ἀποκρύπτων τοὺς τόπους. Οἱ δ' ὑπ' ἀμ-
φοτέρων ἀποσταλέντες ἐφεδρείας ἕνεκα καὶ κατασκοπῆς, ἐν
πάνυ βραχεῖ περιπεσόντες ἀλλήλοις, μάχοντο περὶ τὰς κα-
373 λουμένας Κυνὸς κεφαλὰς, αἳ λόφων οὖσαι πυκνῶν καὶ πα-
ραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τοῦ σχήματος οὕτως
ὠνομάσθησαν. Γενομένων δ', οἷον εἰκὸς ἐν τόποις σκληροῖς,
μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώξεις, ἑκάτεροι τοῖς πο-
νοῦσιν ἀεὶ καὶ ὑποχωροῦσιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν
στρατοπέδων, καὶ ἤδη τοῦ ἀέρος ἀνακαθαιρομένου, καθο-
ρῶντες τὰ γινόμενα, πανστρατιᾷ συνέβαλον. Τῷ μὲν οὖν
δεξιῷ περιῆν ὁ Φίλιππος, ἐκ τόπων ἐπιφόρων ὅλην ἐπερεί-
σας τὴν φάλαγγα τοῖς Ῥωμαίοις, τὸ βάρος τοῦ συνασπισμοῦ,
καὶ τὴν τραχύτητα τῆς προσβολῆς τῶν ἀρίστων οὐχ ὑπομει-
νάντων. Τοῦ δ' εὐωνύμου διασπασμὸν ἀνὰ τοὺς λόφους
καὶ περίκλασιν λαμβάνοντος, ὁ Τίτος, τὸ μὲν ἡττώμενον
ἀπογνοὺς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας, προσέβαλε
τοῖς Μακεδόσι, συστῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν
τάξιν εἰς βάθος, ἥπερ ἦν ἀλκὴ τῆς ἐκείνων δυνάμεως, κω-
λυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων,
πρὸς δὲ τὸ κατ' ἄνδρα συμπλέκεσθαι καὶ βαρεῖ καὶ δυσέργῳ
χρωμένοις ὁπλισμῷ. Ζῴῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἀμάχῳ τὴν
ἰσχὺν, ἕως ἕν ἐστι σῶμα, καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τά-
ξει μιᾷ. Διαλυθείσης δὲ, καὶ τὴν καθ' ἕνα ῥώμην ἀπόλ-
λυσι τῶν μαχομένων ἕκαστος, διά τε τὸν τρόπον τῆς ὁπλί-
σεως, καὶ ὅτι παντὸς ὅλου τοῖς παραλλήλοις μέρεσι μᾶλλον,
ἢ δι' αὐτὸν, ἰσχύει. Τραπομένων δὲ τούτων, οἱ μὲν ἐδίω-
κον τοὺς φεύγοντας, οἱ δὲ τοὺς μαχομένους τῶν Μακεδό-
νων παρεκδραμόντες ἐκ πλαγίων ἔκτεινον· ὥστε ταχὺ καὶ
τοὺς νικῶντας περισπᾶσθαι καὶ φεύγειν, τὰ ὅπλα καταβάλ-
λοντας. Ἔπεσον μὲν οὖν ὀκτακισχιλίων οὐκ ἐλάττους, ἑά-

λωσαν δὲ περὶ πεντακισχιλίους. Τοῦ δὲ τὸν Φίλιππον ἀσφαλῶς ἀπελθεῖν τὴν αἰτίαν ἔλαβον Αἰτωλοὶ, περὶ ἁρπαγὴν γινόμενοι καὶ πόρθησιν τοῦ χάρακος, ἔτι τῶν Ῥωμαίων διωκόντων, ὥστε μηθὲν εὑρεῖν ἐκείνους ἐπανελθόντας.

IX. Πρῶτον μὲν οὖν ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους αὐτοῖς· ἐκ δὲ τούτων μᾶλλον ἀεὶ τὸν Τίτον ἐλύπουν, ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα, καὶ τῇ φήμῃ προκαταλαμβάνοντες τοὺς Ἕλληνας· ὥστε καὶ γράφεσθαι καὶ ᾄδεσθαι προτέρους ἐκείνους ὑπὸ ποιητῶν καὶ ἰδιωτῶν, ὑμνούντων τὸ ἔργον. Ὧν μάλιστα διὰ στόματος ἦν τουτὶ τὸ ἐπίγραμμα·

Ἄκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
  Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
Αἰτωλῶν δμηθέντες ὑπ' Ἄρεος, ἠδὲ Λατίνων,
  Οὓς Τίτος εὐρείης ἤγαγ' ἀπ' Ἰταλίης,
Ἠμαθίῃ μέγα πῆμα. Τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
  Πνεῦμα θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

Τοῦτ' ἐποίησε μὲν Ἀλκαῖος, ἐφυβρίζων Φιλίππῳ, καὶ τὸν ἀριθμὸν τῶν ἀποθανόντων ἐπιψευσάμενος· λεγόμενον δὲ πολλαχοῦ καὶ ὑπὸ πολλῶν, μᾶλλον ἠνία τὸν Τίτον, ἢ τὸν Φίλιππον. Ὁ μὲν γὰρ ἀντικωμῳδῶν τὸν Ἀλκαῖον τῷ ἐλεγείῳ παρέβαλλεν·

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
  Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

Τὸν δὲ Τίτον, φιλοτιμούμενον πρὸς τοὺς Ἕλληνας, οὐ μετρίως παρώξυνε τὰ τοιαῦτα. Διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων ἔπραττε καθ' ἑαυτὸν, ἐλάχιστα φροντίζων τῶν Αἰτωλῶν. Οἱ δ' ἤχθοντο, καὶ, προσδεξαμένου λόγους αὐτοῦ, καὶ πρεσβείαν ἐπὶ συμβάσεσι παρὰ τοῦ Μακεδόνος, τοῦτ' ἐκεῖνοι, περιϊόντες περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην Φιλίππῳ, παρὸν ἐκκόψαι τὸν πόλεμον ἄρδην, καὶ ἀνελεῖν ἀρχὴν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ Ἑλληνικόν. Ταῦτα τῶν Αἰτωλῶν λεγόντων, καὶ διαταραττόντων τοὺς συμμάχους, αὐτὸς ὁ Φίλιππος ἐλθὼν πρὸς τὰς 374
διαλύσεις, ἀνεῖλε τὴν ὑποψίαν, ἐπιτρέψας τῷ Τίτῳ καὶ Ῥωμαίοις τὰ καθ' αὑτόν. Καὶ οὕτω καταλύεται τὸν πόλεμον

ὁ Τίτος· καὶ τὴν μὲν Μακεδονικὴν ἀπέδωκεν αὐτῷ βασιλείαν, τῆς δ' Ἑλλάδος προσέταξεν ἀποστῆναι, χιλίοις δὲ ταλάντοις ἐζημίωσε, τὰς δὲ ναῦς πάσας παρείλετο, πλὴν δέκα. Τῶν δὲ παίδων τὸν ἕτερον, Δημήτριον, ὁμηρεύσοντα λαβὼν, εἰς Ῥώμην ἀπέστειλεν, ἄριστα τῷ καιρῷ χρησάμενος, καὶ προλαβὼν τὸ μέλλον. Ἀννίβου γὰρ τοῦ Λίβυος, ἀνδρὸς ἐχθίστου τε Ῥωμαίοις καὶ φυγάδος, ἤδη τότε πρὸς Ἀντίοχον ἥκοντος τὸν βασιλέα, καὶ παροξύνοντος αὐτὸν εἰς τὸ πρόσθεν προϊέναι τῇ τύχῃ, τῆς δυνάμεως εὖ ῥεούσης, ἤδη καὶ καθ' ἑαυτὸν ὑπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος μέγας ἐπωνομάσθη, πρὸς τὴν ἁπάντων ἡγεμονίαν ἀποβλέποντα, μάλιστα δὲ κατὰ Ῥωμαίων ἀνιστάμενον· εἰ μὴ τοῦτο προϊδὼν ὁ Τίτος ἐμφρόνως ἐνέδωκε πρὸς τὰς διαλύσεις, ἀλλὰ τὸν Φιλιππικὸν ὁ Ἀντιοχικὸς κατειλήφει πόλεμος ἐν τῇ Ἑλλάδι, καὶ συνέστησαν ὑπ' αἰτιῶν ἀμφότεροι κοινῶν οἱ μέγιστοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν Ῥώμην, ἔσχεν ἂν ἀγῶνας ἐξ ὑπαρχῆς καὶ κινδύνους τῶν πρὸς Ἀννίβαν οὐκ ἐλάττους. Νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ Τίτος, καὶ, πρὶν ἄρξασθαι τὸν μέλλοντα, διακόψας τὸν παρόντα, τοῦ μὲν τὴν ἐσχάτην ἐλπίδα, τοῦ δὲ τὴν πρώτην ὑφεῖλεν.

X. Ἐπεὶ δ' οἱ δέκα πρέσβεις, οὓς ἡ σύγκλητος ἔπεμψε τῷ Τίτῳ, συνεβούλευον τοὺς μὲν ἄλλους Ἕλληνας ἐλευθεροῦν, Κόρινθον δὲ καὶ Χαλκίδα καὶ Δημητριάδα διατηρεῖν ἐμφρούρους, ἕνεκα τῆς πρὸς Ἀντίοχον ἀσφαλείας, ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ λαμπρῶς τὰς πόλεις ἀνεῤῥήγνυσαν Αἰτωλοὶ, τὸν μὲν Τίτον κελεύοντες τὰς πέδας τῆς Ἑλλάδος λύειν (οὕτω γὰρ ὁ Φίλιππος εἰώθει τὰς προειρημένας πόλεις ὀνομάζειν), τοὺς δ' Ἕλληνας ἐρωτῶντες, εἰ κλοιὸν ἔχοντες βαρύτερον μὲν, λειότερον δὲ τοῦ πάλαι τὸν νῦν, χαίρουσι, καὶ θαυμάζουσι τὸν Τίτον, ὡς εὐεργέτην, ὅτι τοῦ ποδὸς λύσας τὴν Ἑλλάδα, τοῦ τραχήλου δέδεκεν. Ἐφ' οἷς ἀχθόμενος ὁ Τίτος καὶ βαρέως φέρων, καὶ δεόμενος τοῦ συνεδρίου, τέλος ἐξέπεισε καὶ ταύτας τὰς πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς Ἕλλησιν. Ἰσθμίων οὖν ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο, τὸν γυμνικὸν ἀγῶνα θεώμενον, οἷα δὴ διὰ χρόνων, πεπαυμένης μὲν πολέμων τῆς

Ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυρι-
ζούσης. Τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης,
προελθὼν εἰς μέσον ὁ κῆρυξ ἀνεῖπεν, ὅτι Ῥωμαίων ἡ σύγ-
κλητος, καὶ Τίτος Κοΐντιος, στρατηγὸς ὕπατος, καταπολε-
μήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρου-
ρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους, νόμοις χρωμέ-
νους τοῖς πατρίοις, Κορινθίους, Λοκροὺς, Φωκεῖς, Εὐβοέας,
Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περῤῥαιβούς. Τὸ
μὲν οὖν πρῶτον οὐ πάνυ πάντες, οὐδὲ σαφῶς ἐπήκουσαν,
ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυ-
μαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευ-
όντων. Ὡς δ', αὖθις ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κῆρυξ
τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε, καὶ δι-
ῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χα-
ρὰν ἐχώρει μέχρι θαλάττης, ὀρθὸν δ' ἀνειστήκει τὸ θέατρον,
οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων. Ἔσπευδον δὲ πάν-
τες ἀναπηδῆσαι, καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σω- 375
τῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. Τὸ δὲ πολλάκις λεγόμενον
εἰς ὑπερβολὴν τῆς φωνῆς καὶ μέγεθος ὤφθη τότε. Κόρακες
γὰρ, περιπετόμενοι κατὰ τύχην, ἔπεσον εἰς τὸ στάδιον. Αἰ-
τία δ' ἡ τοῦ ἀέρος ῥῆξις. Ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ
μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς
πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ, καθάπερ κενεμβατοῦσιν·
εἰ μὴ, νὴ Δία, πληγῇ τινι μᾶλλον, ὡς ὑπὸ βέλους διελαυ-
νόμενα, πίπτει καὶ ἀποθνήσκει. Δύναται δὲ καὶ περιδίνησις
εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸν ἐν πελάγει καὶ παλιῤῥύμην
τοῦ σάλου διὰ μέγεθος λαμβάνοντος.

XI. Ὁ δ' οὖν Τίτος, εἰ μὴ τάχιστα τῆς θέας διαλυθεί-
σης, ὑπειδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν δρόμον,
ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι, τοσούτων ὁμοῦ καὶ
πάντοθεν αὐτῷ περιχεομένων. Ὡς δ' ἀπέκαμον περὶ τὴν
σκηνὴν αὐτοῦ βοῶντες, ἤδη νυκτὸς οὔσης, αὖθις οὕστινας
ἴδοιεν ἢ φίλους, ἢ πολίτας, ἀσπαζόμενοι καὶ περιπλεκόμενοι,
πρὸς δεῖπνα καὶ πότους ἐτρέποντο μετ' ἀλλήλων. Ἐν ᾧ καὶ
μᾶλλον, ὡς εἰκὸς, ἡδομένοις ἐπῄει λογίζεσθαι καὶ διαλέγε-
σθαι περὶ τῆς Ἑλλάδος, ὅσους πολεμήσασα πολέμους διὰ τὴν
ἐλευθερίαν, οὔπω τύχοι βεβαιότερον, οὐδὲ ἥδιον αὐτῆς,
ἑτέρων προαγωνισαμένων, ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ

ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον. Ἦν δ' ἄρα σπάνιον μὲν ἀνδρεία καὶ φρόνησις ἐν ἀνθρώποις, σπανιώτατον δὲ τῶν ἄλλων ἀγαθῶν ὁ δίκαιος. Οἱ γὰρ Ἀγησίλαοι καὶ Λύσανδροι, καὶ οἱ Νικίαι, καὶ οἱ Ἀλκιβιάδαι, πολέμους μὲν εὖ διέπειν, καὶ μάχας νικᾷν, κατά τε γῆν καὶ θάλασσαν ἄρχοντες, ἠπίσταντο, χρῆσθαι δὲ πρὸς χάριν εὐγενῆ καὶ τὸ καλὸν, οἷς κατώρθουν, οὐκ ἔγνωσαν. Ἀλλ', εἰ τὸ Μαραθώνιόν τις ἔργον ἀφέλοι, καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, καὶ Πλαταιὰς, καὶ Θερμοπύλας, καὶ τὰ πρὸς Εὐρυμέδοντι, καὶ τὰ περὶ Κύπρον Κίμωνος ἔργα, πάσας τὰς μάχας ἡ Ἑλλὰς ἐπὶ δουλείᾳ μεμάχηται πρὸς αὑτὴν, καὶ πᾶν τρόπαιον αὐτῆς συμφορὰ καὶ ὄνειδος ἐπ' αὐτὴν ἕστηκε, τὰ πλεῖστα κακίᾳ καὶ φιλονεικίᾳ τῶν ἡγουμένων περιτραπείσης. Ἀλλόφυλοι δ' ἄνδρες, ἐναύσματα μικρὰ καὶ γλίσχρα κοινωνήματα παλαιοῦ γένους ἔχειν δοκοῦντες, ἀφ' ὧν καὶ λόγῳ τι καὶ γνώμῃ τῶν χρησίμων ὑπάρξαι τῇ Ἑλλάδι θαυμαστὸν ἦν, οὗτοι τοῖς μεγίστοις κινδύνοις καὶ πόνοις ἐξελόμενοι τὴν Ἑλλάδα δεσποτῶν χαλεπῶν καὶ τυράννων ἐλευθεροῦσιν.

XII. Ταῦτα δὴ τοὺς Ἕλληνας ὑπῄει· καὶ τὰ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν ἦν. Ἅμα γὰρ ἐξέπεμπεν ὁ Τίτος Λέντλον μὲν εἰς Ἀσίαν, Βαργυλιήτας ἐλευθερώσοντα, Στερτίνιον δ' εἰς Θρᾴκην, τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν Φιλίππου φρουρῶν. Πόπλιος δὲ Οὐίλλιος ἔπλει διαλεξόμενος Ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν Ἑλλήνων ἐλευθερίας. Αὐτὸς δὲ ὁ Τίτος εἰς Χαλκίδα παρελθὼν, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν, ἐξῆγε τὰς φρουρὰς, καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. Ἀγωνοθέτης δὲ Νεμείων ἀποδειχθεὶς ἐν Ἄργει, τήν τε πανήγυριν ἄριστα διέθηκε, καὶ πάλιν ἐκεῖ τοῖς Ἕλλησι τὴν ἐλευθερίαν ὑπὸ κήρυκος ἀνεῖπεν. Ἐπιφοιτῶν τε ταῖς πόλεσιν, εὐνομίαν ἅμα καὶ δίκην πολλὴν, ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχε· καταπαύων μὲν τὰς στάσεις, κατάγων δὲ τὰς φυγὰς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς Ἕλληνας οὐχ ἧττον, ἢ τῷ κεκρατηκέναι τῶν Μακεδόνων, ὥστε μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν ὧν εὐεργετοῦντο. Ξενοκράτη μὲν οὖν τὸν φιλόσοφον, ὅτε Λυκοῦργος αὐτὸν ὁ
376 ῥήτωρ ὑπὸ τῶν τελωνῶν ἀγόμενον πρὸς τὸ μετοίκιον ἀφείλετο, καὶ τοῖς ἄγουσιν ἐπέθηκε δίκην τῆς ἀσελγείας, λέγεται

τοῖς παισὶν ἀπαντήσαντα τοῦ Λυκούργου· Καλήν γε ὑμῶν, ὦ παῖδες, φάναι, τῷ πατρὶ χάριν ἀποδίδωμι· πάντες γὰρ αὐτὸν ἐπαινοῦσιν, ἐφ' οἷς ἔπραξε. Τίτῳ δὲ καὶ Ῥωμαίοις, ὧν τοὺς Ἕλληνας εὐεργέτησαν, οὐκ εἰς ἐπαίνους μόνον, ἀλλὰ καὶ πίστιν ἐν πᾶσιν ἀνθρώποις καὶ δύναμιν ἡ χάρις ἀπήντα δικαίως. Οὐ γὰρ προσδεχόμενοι μόνον τοὺς ἡγεμόνας αὐτῶν, ἀλλὰ καὶ μεταπεμπόμενοι καὶ καλοῦντες ἐνεχείριζον αὐτούς. Οὐδὲ δῆμοι καὶ πόλεις, ἀλλὰ καὶ βασιλεῖς ὑφ' ἑτέρων ἀδικούμενοι βασιλέων, κατέφευγον εἰς τὰς ἐκείνων χεῖρας· ὥστ' ἐν βραχεῖ χρόνῳ, τάχα που καὶ θεοῦ συνεφαπτομένου, πάντ' αὐτοῖς ὑπήκοα γενέσθαι. Καὶ αὐτὸς δὲ μέγιστον ἐφρόνησεν ἐπὶ τῇ τῆς Ἑλλάδος ἐλευθερώσει. Ἀνατεθεὶς γὰρ εἰς Δελφοὺς ἀσπίδας ἀργυρᾶς καὶ τὸν ἑαυτοῦ θυρεὸν, ἐπέγραψε·

Ζηνὸς, ἰώ! κραιπναῖσι γεγαθότες ἱπποσύναισι,
  Κοῦροι, ἰώ! Σπάρτας Τυνδαρίδαι βασιλεῖς,
Αἰνεάδας Τίτος ὔμμιν ὑπέρτατον ὤπασε δῶρον,
  Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

Ἀνέθηκε δὲ καὶ χρυσοῦν τῷ Ἀπόλλωνι στέφανον, ἐπιγράψας·

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
  Κεῖσθαι, Λατοΐδα, χρυσοφαῆ στέφανον,
Ὃν πόρεν, Αἰνεαδᾶν ταγὸς μέγας. Ἀλλ', Ἑκάεργε,
  Ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε Τίτῳ.

Τῇ γοῦν Κορινθίων πόλει πρὸς τοὺς Ἕλληνας τὸ αὐτὸ δὶς ἤδη συμβέβηκε. Καὶ γὰρ Τίτος ἐν Κορίνθῳ τότε, καὶ Νέρων αὖθις καθ' ἡμᾶς ἐν Κορίνθῳ, παραπλησίως Ἰσθμίων ἀγομένων, τοὺς Ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὁ μὲν διὰ κήρυκος, ὡς εἴρηται· Νέρων δ' αὐτὸς ἐπὶ τῆς ἀγορᾶς ἀπὸ βήματος ἐν τῷ πλήθει δημηγορήσας. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XIII. Ὁ δὲ Τίτος τότε καλλίστου καὶ δικαιοτάτου τοῦ πρὸς Νάβιν ἀρξάμενος πολέμου, τὸν Λακεδαιμονίων ἐξωλέστατον καὶ παρανομώτατον τύραννον, ἐν τῷ τέλει διεψεύσατο τὰς τῆς Ἑλλάδος ἐλπίδας, ἑλεῖν παρασχὸν, οὐκ ἐθελήσας, ἀλλὰ σπεισάμενος, καὶ προέμενος τὴν Σπάρτην ἀναξίως δουλεύουσαν· εἴτε δείσας, μὴ, τοῦ πολέμου μῆκος λαμ-

βάνοντος, ἄλλος ἀπὸ Ῥώμης ἐπελθὼν στρατηγὸς ἀνέληται
τὴν δόξαν, εἴτε φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ τῶν Φιλοποίμενος
τιμῶν, ὃν ἔν τε τοῖς ἄλλοις ἅπασιν ἄνδρα δεινότατον τῶν
Ἑλλήνων ὄντα, καὶ περὶ ἐκεῖνον τὸν πόλεμον ἔργα θαυμα-
στὰ τόλμης καὶ δεινότητος ἀποδειξάμενον, ἴσα τῷ Τίτῳ κυ-
δαίνοντες Ἀχαιοὶ, καὶ τιμῶντες ἐν τοῖς θεάτροις, ἐλύπουν
ἐκεῖνον, οὐκ ἀξιοῦντα Ῥωμαίων ὑπάτῳ προπολεμοῦντι τῆς
Ἑλλάδος ἄνθρωπον Ἀρκάδα, μικρῶν καὶ ὁμόρων πολέμων
στρατηγὸν, ὅμοια θαυμάζεσθαι παρ' αὐτοῖς. Οὐ μὴν ἀλλ'
αὐτὸς ὁ Τίτος ὑπὲρ τούτων ἀπελογεῖτο, καταθέσθαι τὸν πό-
λεμον, ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων Σπαρτιατῶν
ἀπολούμενον τὸν τύραννον. Τῶν δ' Ἀχαιῶν αὐτῷ πολλὰ
πρὸς τιμὴν ψηφισαμένων, οὐδὲν ἐδόκει πρὸς τὰς εὐεργεσίας
ἐξισοῦσθαι, πλὴν μιᾶς δωρεᾶς, ἣν ἐκεῖνος ἀντὶ πάντων ἠγά-
πησεν. Ἦν δὲ τοιάδε. Ῥωμαίων οἱ δυστυχήσαντες ἐν τῷ
πρὸς Ἀννίβαν πολέμῳ, πολλαχοῦ μὲν ὤνιοι γενόμενοι καὶ
διασπαρέντες ἐδούλευον. Ἐν δὲ τῇ Ἑλλάδι χίλιοι καὶ δια-
κόσιοι τὸ πλῆθος ἦσαν, ἀεὶ μὲν οἰκτροὶ τῆς μεταβολῆς, τότε
δὲ καὶ μᾶλλον, ὡς εἰκὸς, ἐντυγχάνοντες οἱ μὲν υἱοῖς, οἱ δ'
ἀδελφοῖς, οἱ δὲ συνήθεσιν, ἐλευθέροις δοῦλοι, καὶ νικῶσιν
377 αἰχμάλωτοι. Τούτους ὁ μὲν Τίτος οὐκ ἀφείλετο τῶν κεκτη-
μένων, καίπερ ἀνιώμενος ἐπ' αὐτοῖς· οἱ δ' Ἀχαιοὶ, λυτρω-
σάμενοι πέντε μνῶν ἕκαστον ἄνδρα, καὶ συναγαγόντες εἰς
ταὐτὸ πάντας, ἤδη περὶ πλοῦν ὄντι τῷ Τίτῳ παρέδωκαν·
ὥστ' αὐτὸν εὐφραινόμενον ἀποπλεῖν, ἀπὸ καλῶν ἔργων κα-
λὰς ἀμοιβὰς καὶ πρεπούσας ἀνδρὶ μεγάλῳ καὶ φιλοπολίτῃ
κεκομισμένον· ὃ δὴ δοκεῖ πρὸς τὸν θρίαμβον αὐτῷ πάντων
ὑπάρξαι λαμπρότατον. Οἱ γὰρ ἄνδρες οὗτοι, καθάπερ ἔθος
ἐστὶ τοῖς οἰκέταις, ὅταν ἐλευθερωθῶσιν, ξύρεσθαί τε τὰς
κεφαλὰς, καὶ πιλία φορεῖν, ταῦτα δράσαντες αὐτοὶ θριαμ-
βεύοντι τῷ Τίτῳ παρείποντο.

XIV. Καλλίω δὲ καὶ τὰ λάφυρα πομπευόμενα παρεῖχεν
ὄψιν, Ἑλληνικὰ κράνη, καὶ πέλται Μακεδονικαὶ καὶ σάρισ-
σαι. Τό τε τῶν χρημάτων πλῆθος οὐκ ὀλίγον ἦν, ὡς ἀνα-
γράφουσιν οἱ περὶ Τουδιτανὸν ἐν τῷ θριάμβῳ κομισθῆναι
χρυσίου μὲν συγκεχωνευμένου λίτρας τρισχιλίας ἑπτακοσίας
δεκατρεῖς, ἀργύρου δὲ τετρακισμυρίας τρισχιλίας διακοσίας
ἑβδομήκοντα, φιλιππείους δὲ χρυσοῦς μυρίους τετρακισχι-
λίους

λίους πεντακοσίους δεκατέσσαρας· χωρὶς δὲ τούτων τὰ χίλια τάλαντα, ἃ Φίλιππος ὤφειλεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπείσθησαν Ῥωμαῖοι, μάλιστα τοῦ Τίτου συμπράσσοντος, ἀφεῖναι τῷ Φιλίππῳ, καὶ σύμμαχον ἐψηφίσαντο, καὶ τὸν υἱὸν ἀπήλλαξαν αὐτῷ τῆς ὁμηρείας.

XV. Ἐπεὶ δ' ὁ Ἀντίοχος, εἰς τὴν Ἑλλάδα ναυσὶ πολλαῖς καὶ στρατῷ περαιωθεὶς, ἀφίστη τὰς πόλεις καὶ διεστασίαζεν, Αἰτωλῶν αὐτῷ συνεπιλαμβανομένων, καὶ πάλαι διακειμένων πρὸς τὸν Ῥωμαίων δῆμον ἐχθρῶς καὶ πολεμικῶς, ὑπόθεσιν τοῦ πολέμου καὶ πρόφασιν διδόντων, ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδὲν δεομένους (ἐλεύθεροι γὰρ ἦσαν), ἀλλ' εὐπρεπεστέρας αἰτίας ἀπορίᾳ, τῷ καλλίστῳ τῶν ὀνομάτων χρῆσθαι διδασκόντων· καὶ σφόδρα δείσαντες οἱ Ῥωμαῖοι τὴν ἀνάστασιν, καὶ δόξαν αὐτοῦ τῆς δυνάμεως, στρατηγὸν μὲν ὕπατον τοῦ πολέμου Μάνιον Ἀκίλιον κατέπεμψαν, πρεσβευτὴν δὲ Τίτον, διὰ τοὺς Ἕλληνας, ὧν τοὺς μὲν εὐθὺς ὀφθεὶς ἐποίησε βεβαιοτέρους, τοὺς δ' ἀρχομένους νοσεῖν, ὥσπερ τι ἐν καιρῷ φάρμακον, διδοὺς τὴν πρὸς αὐτὸν εὔνοιαν, ἔστησε, καὶ διεκώλυσεν ἐξαμαρτεῖν. Ὀλίγοι δ' αὐτὸν ἐξέφυγον, ἤδη προκατειλημμένοι καὶ διεφθαρμένοι παντάπασιν ὑπὸ τῶν Αἰτωλῶν· οὓς, καίπερ ὀργισθεὶς καὶ παροξυνθεὶς, ὅμως μετὰ τὴν μάχην περιεποίησεν. Ἀντίοχος γὰρ ἡττηθεὶς ἐν Θερμοπύλαις, καὶ φυγὼν εὐθὺς εἰς Ἀσίαν ἀπέπλευσε. Μάνιος δ' ὁ ὕπατος, τοὺς μὲν αὐτὸς ἐπιὼν τῶν Αἰτωλῶν ἐπολιόρκει, τοὺς δὲ τῷ βασιλεῖ Φιλίππῳ συνεχώρησεν ἐξαιρεῖν. Ἀγομένων δὲ καὶ φερομένων ὑπὸ τοῦ Μακεδόνος, τοῦτο μὲν Δολόπων καὶ Μαγνήτων, τοῦτο δ' Ἀθαμάνων καὶ Ἀπεραντῶν, αὐτοῦ δὲ τοῦ Μανίου τὴν μὲν Ἡράκλειαν διαπεπορθηκότος, τὴν δὲ Ναύπακτον Αἰτωλῶν ἐχόντων πολιορκοῦντος, οἰκτείρων τοὺς Ἕλληνας ὁ Τίτος, διέπλευσεν ἐκ Πελοποννήσου πρὸς τὸν ὕπατον. Καὶ πρῶτον μὲν ἐπετίμησεν, εἰ νενικηκὼς αὐτὸς τὰ ἔπαθλα τοῦ πολέμου Φίλιππον ἐᾷ φέρεσθαι, καὶ τριβόμενος περὶ μιᾷ πόλει κάθηται δι' ὀργὴν, ἔθνη δ' οὐκ ὀλίγα καὶ βασιλεῖς Μακεδόνες αἱροῦσιν. Ἔπειτα τῶν πολιορκουμένων, ὡς εἶδον αὐτὸν, ἀπὸ τοῦ τείχους ἀνακαλούντων, καὶ χεῖρας ὀρεγόντων, καὶ δεομένων, τότε μὲν οὐδὲν εἰπὼν, ἀλλὰ στραφεὶς καὶ δακρύσας ἀπῆλθεν, ὕστερον δὲ διαλεχθεὶς τῷ Μανίῳ, καὶ καταπαύσας τὸν θυμὸν

αὐτοῦ, διεπράξατο τοῖς Αἰτωλοῖς ἀνοχὰς διδόναι καὶ χρόνον, ἐν ᾧ πρεσβεύσαντες εἰς Ῥώμην μετρίου τινὸς τυχεῖν ἀξιώσουσι.

878 XVI. Πλεῖστον δ' ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ Χαλκιδέων δεήσεις πρὸς τὸν Μάνιον, ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ' αὐτῶν ἔγημεν Ἀντίοχος, ἤδη τοῦ πολέμου συνεστῶτος, οὐ καθ' ὥραν, οὐδὲ κατὰ καιρὸν, ἀλλ' ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἣ θυγάτηρ μὲν ἦν Κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. Τοῦτο τοὺς Χαλκιδεῖς ἐποίησε βασιλίσαι προθυμότατα, καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον ὁρμητήριον παρασχεῖν. Ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων προσέμιξε τῇ Χαλκίδι· τὴν δὲ κόρην ἀναλαβὼν, καὶ τὰ χρήματα καὶ τοὺς φίλους, εἰς Ἀσίαν ἀπέπλευσε. Τὸν δὲ Μάνιον εὐθὺς ἐπὶ τοὺς Χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον, ὁ Τίτος παρακολουθῶν ἐμάλαττε καὶ παρῃτεῖτο. Καὶ τέλος ἔπεισε καὶ κατεπράϋνεν, αὐτοῦ τε καὶ τῶν ἐν τέλει Ῥωμαίων δεόμενος. Οὕτω διασωθέντες οἱ Χαλκιδεῖς τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ' αὐτοῖς ἀναθημάτων τῷ Τίτῳ καθιέρωσαν, ὧν ἐπιγραφὰς ἔστι τοιαύτας ἄχρι νῦν ὁρᾶν· „Ὁ δῆμος Τίτῳ καὶ Ἡρακλεῖ τὸ γυμνάσιον.“ Ἑτέρωθι δὲ πάλιν· „Ὁ δῆμος Τίτῳ καὶ Ἀπόλλωνι τὸ Δελφίνιον.“ Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἱερεὺς χειροτονητὸς ἀπεδείκνυτο Τίτου, καὶ θύσαντες αὐτῷ, τῶν σπονδῶν γενομένων, ᾄδουσι παιᾶνα πεποιημένον· οὗ τἄλλα διὰ μῆκος ἡμεῖς παρέντες, ἀνεγράψαμεν, ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι· „Πίστιν δὲ Ῥωμαίων σέβομεν, τὰν μεγαλαλκεστάταν ὅρκοις φυλάσσειν. Μέλπετε, κοῦραι, Ζῆνα μέγαν, Ῥώμαν τε, Τίτον τε ἅμα, Ῥωμαίων τε πίστιν· Ἰήϊε, Παιὰν, ὦ Τίτε σῶτερ.“

XVII. Ἦσαν δὲ καὶ παρὰ τῶν Ἑλλήνων τιμαὶ πρέπουσαι, καὶ τὸ τὰς τιμὰς ἀληθινὰς ποιοῦν, εὔνοια θαυμαστὴ, δι' ἐπιείκειαν ἤθους. Καὶ γὰρ εἴ τισιν ἐκ πραγμάτων, ἢ φιλοτιμίας ἕνεκα, καθάπερ Φιλοποίμενι, καὶ πάλιν Διοφάνει, στρατηγοῦντι τῶν Ἀχαιῶν, προσέκρουσεν, οὐκ ἦν βαρὺς, οὐδ' εἰς ἔργα διατείνων ὁ θυμὸς, ἀλλ' ἐν λόγῳ παῤῥησίαν τινὰ πολιτικὴν ἔχοντι παυόμενος. Πικρὸς μὲν οὖν οὐδενὶ, πολλοῖς δ' ὀξὺς ἐδόκει, καὶ κοῦφος εἶναι τὴν φύσιν· ἄλλως δὲ συγγενέσθαι πάντων ἥδιστος, καὶ εἰπεῖν ἐπι-

χαρις μετὰ δεινότητος. Ἀχαιοὺς μὲν γὰρ σφετεριζομένους τὴν Ζακυνθίων νῆσον ἀποτρέπων, ἔφη κινδυνεύσειν, ἄν, ὥσπερ αἱ χελῶναι, πορρωτέρω τὴν κεφαλὴν τῆς Πελοποννήσου προτείνωσιν. Φιλίππου δ', ὁπηνίκα περὶ σπονδῶν καὶ εἰρήνης τὸ πρῶτον εἰς λόγους συνῄεσαν, εἰπόντος μετὰ πολλῶν ἥκειν ἐκεῖνον, αὐτὸν δὲ μόνον, ὑπολαβὼν ὁ Τίτος· Σαυτὸν γάρ, ἔφη, μόνον ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. Ἐπεὶ δὲ Δεινοκράτης ὁ Μεσσήνιος ἐν Ῥώμῃ παρὰ πότον μεθυσθεὶς ὠρχήσατο, λαβὼν ἱμάτιον γυναικεῖον, τῇ δ' ὑστεραίᾳ τὸν Τίτον ἠξίου βοηθεῖν αὐτῷ διανοουμένῳ τὴν Μεσσήνην ἀφιστάναι τῶν Ἀχαιῶν· ταῦτα μὲν ἔφη σκέψεσθαι, θαυμάζειν δ' ἐκεῖνον, εἰ τηλικαύταις ἐπικεχειρηκὼς πράξεσιν, ὀρχεῖσθαι δύναται παρὰ πότον καὶ ᾄδειν. Πρὸς δὲ τοὺς Ἀχαιοὺς τῶν παρ' Ἀντιόχου πρέσβεων πλῆθός τε τῆς βασιλικῆς στρατιᾶς καταλεγόντων, καὶ καταριθμουμένων πολλὰς προσηγορίας, ὁ Τίτος ἔφη, δειπνοῦντος αὐτοῦ παρὰ τῷ ξένῳ, καὶ μεμφομένου τὸ πλῆθος τῶν κρεῶν, καὶ θαυμάζοντος, πόθεν οὕτω ποικίλης ἀγορᾶς εὐπόρησεν, εἰπεῖν τὸν ξένον, ὡς ὕεια πάντα ἐστί, τῇ σκευασίᾳ διαφέροντα καὶ τοῖς ἡδύσμασι. Μὴ τοίνυν, ἔφη, μηδὲ ὑμεῖς, ὦ ἄνδρες Ἀχαιοί, θαυμάζετε τὴν Ἀντιόχου δύναμιν, λογχοφόρους καὶ ξυστοφόρους καὶ πεζεταίρους ἀκούοντες· πάντες γὰρ οὗτοι Σύροι εἰσίν, ὁπλαρίοις διαφέροντες.

XVIII. Μετὰ δὲ τὰς Ἑλληνικὰς πράξεις, καὶ τὸν Ἀν- 379
τιοχικὸν πόλεμον, ἀπεδείχθη τιμητής· ἥτις ἐστὶν ἀρχὴ μεγίστη, καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις. Καὶ συνῆρχε μὲν αὐτῷ Μαρκέλλου τοῦ πεντάκις ὑπατεύσαντος υἱός· ἐξέβαλον δὲ τῆς βουλῆς τῶν οὐκ ἄγαν ἐπιφανῶν τέσσαρας· προσεδέξαντο δὲ πολίτας ἀπογραφομένους πάντας, ὅσοι γονέων ἐλευθέρων ἦσαν, ἀναγκασθέντες ὑπὸ τοῦ δημάρχου Τερεντίου Κουλλέωνος, ὃς ἐπηρεάζων τοῖς ἀριστοκρατικοῖς, ἔπεισε τὸν δῆμον ταῦτα ψηφίσασθαι. Τῶν δὲ γνωριμωτάτων κατ' αὐτὸν ἀνδρῶν καὶ μεγίστων ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους, Ἀφρικανοῦ Σκηπίωνος, καὶ Μάρκου Κάτωνος, τὸν μὲν προέγραψε τῆς βουλῆς, ὡς ἄριστον ἄνδρα καὶ πρῶτον· Κάτωνι δ' εἰς ἔχθραν ἦλθε, συμφορᾷ τοιαύτῃ χρησάμενος. Ἀδελφὸς ἦν Τίτῳ Λεύκιος Φλαμινῖνος, οὔτε τἄλλα προσεοικὼς ἐκείνῳ τὴν φύσιν, ἔν τε ταῖς ἡδοναῖς ἀνε-

λεύθερος δεινῶς, καὶ ὀλιγωρότατος τοῦ πρέποντος. Τούτῳ συνῆν μειρακίσκος ἐρώμενος, ὃν καὶ στρατιᾶς ἄρχων ἐπήγετο, καὶ διέπων ἐπαρχίας εἶχεν ἀεὶ περὶ αὐτόν. Ἐν οὖν πότῳ τινὶ θρυπτόμενος πρὸς τὸν Λεύκιον, οὕτως ἔφη σφόδρα φιλεῖν αὐτὸν, ὥστε θέαν μονομάχων ἀπολιπεῖν, οὔπω γεγονὼς ἀνθρώπου φονευομένου θεατὴς, τὸ πρὸς ἐκεῖνον ἡδὺ τοῦ πρὸς αὐτὸν ἐν πλείονι λόγῳ θέμενος. Ὁ δὲ Λεύκιος ἡσθείς· Οὐδὲν, ἔφη, δεινόν· ἰάσομαι γὰρ ἐγώ σου τὴν ἐπιθυμίαν. Καὶ κελεύσας ἕνα τῶν καταδίκων ἐκ τοῦ δεσμωτηρίου προαχθῆναι, καὶ τὸν ὑπηρέτην μεταπεμψάμενος, ἐν τῷ συμποσίῳ προσέταξεν ἀποκόψαι τοῦ ἀνθρώπου τὸν τράχηλον. Οὐαλέριος δ' Ἀντίας οὐκ ἐρωμένῳ φησὶν, ἀλλ' ἐρωμένῃ τοῦτο χαρίσασθαι τὸν Λεύκιον. Ὁ δὲ Λίβιος ἐν λόγῳ Κάτωνος αὐτοῦ γεγράφθαι φησὶν, ὡς Γαλάτην, αὐτόμολον ἐλθόντα μετὰ παίδων καὶ γυναικὸς ἐπὶ τὰς θύρας, δεξάμενος εἰς τὸ συμπόσιον ὁ Λεύκιος, ἀπέκτεινεν ἰδίᾳ χειρὶ, τῷ ἐρωμένῳ χαριζόμενος. Τοῦτο μὲν οὖν εἰκὸς εἰς δείνωσιν εἰρῆσθαι τῆς κατηγορίας ὑπὸ τοῦ Κάτωνος. Ὅτι δ' οὐκ αὐτόμολος ἦν, ἀλλὰ δεσμώτης ὁ ἀναιρεθεὶς, καὶ ἐκ τῶν καταδίκων, ἄλλοι τε πολλοὶ, καὶ Κικέρων ὁ ῥήτωρ ἐν τῷ Περὶ γήρως, αὐτῷ Κάτωνι τὴν διήγησιν ἀναθεὶς, εἴρηκεν.

XIX. Ἐπὶ τούτῳ Κάτων τιμητὴς γενόμενος, καὶ καθαίρων τὴν σύγκλητον, ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ὑπατικοῦ μὲν ἀξιώματος ὄντα, συνατιμοῦσθαι δὲ τοῦ ἀδελφοῦ δοκοῦντος αὐτῷ. Διὸ καὶ προσελθόντες εἰς τὸν δῆμον ἀμφότεροι ταπεινοὶ καὶ δεδακρυμένοι, μέτρια δεῖσθαι τῶν πολιτῶν ἐδόκουν, ἀξιοῦντες αἰτίαν εἰπεῖν τὸν Κάτωνα καὶ λόγον, ᾧ χρησάμενος, οἶκον ἔνδοξον ἀτιμίᾳ τοσαύτῃ περιβέβληκεν. Οὐδὲν οὖν ὑποστειλάμενος ὁ Κάτων προῆλθε, καὶ καταστὰς μετὰ τοῦ συνάρχοντος, ἠρώτησε τὸν Τίτον, εἰ γινώσκει τὸ συμπόσιον. Ἀρνουμένου δ' ἐκείνου, διηγησάμενος, εἰς ὁρκισμὸν προεκαλεῖτο τὸν Λεύκιον, εἴ τι φησὶ τῶν εἰρημένων μὴ ἀληθὲς εἶναι. Τοῦ δὲ Λευκίου σιωπήσαντος, ὁ μὲν δῆμος ἔγνω δικαίαν γεγονέναι τὴν ἀτιμίαν, καὶ τὸν Κάτωνα προέπεμψε λαμπρῶς ἀπὸ τοῦ βήματος. Ὁ δὲ Τίτος, τῇ συμφορᾷ τοῦ ἀδελφοῦ περιπαθῶν, συνέστη μετὰ τῶν πάλαι μισούντων τὸν Κάτωνα, καὶ πάσας μὲν, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν δημοσίων ἐκδόσεις καὶ μισθώσεις καὶ ὠνὰς ἠκύ-

ρωσε καὶ ἀνέλυσεν, ἐν τῇ βουλῇ κρατήσας· πολλὰς δὲ καὶ
μεγάλας δίκας κατ' αὐτοῦ παρεσκεύασεν, οὐκ οἶδ' ὅπως εὖ
καὶ πολιτικῶς, καὶ πρὸς ἄρχοντα νόμιμον καὶ πολίτην ἄρι-
στον, ὑπὲρ ἀνδρὸς οἰκείου μὲν, ἀναξίου δὲ, καὶ τὰ προσή-
κοντα πεπονθότος, ἀνήκεστον ἔχθραν ἀράμενος. Οὐ μὴν 380
ἀλλὰ τοῦ Ῥωμαίων ποτὲ δήμου θέαν ἔχοντος ἐν τῷ θεάτρῳ,
καὶ τῆς βουλῆς, ὥσπερ εἴωθεν, ἐν κόσμῳ προκαθημένης,
ὀφθεὶς ὁ Λεύκιος ἐπ' ἐσχάτοις που καθήμενος ἀτίμως καὶ
ταπεινῶς, οἶκτον ἔσχε· καὶ τὸ πλῆθος οὐκ ἠνέσχετο τὴν
ὄψιν, ἀλλ' ἐβόων, μεταβῆναι κελεύοντες, ἕως μετέβη, δεξα-
μένων αὐτὸν εἰς ἑαυτοὺς τῶν ὑπατικῶν.

XX. Τὸ δ' οὖν φύσει τοῦ Τίτου φιλότιμον, ἄχρι μὲν ἱκανὴν εἶχεν ὕλην, περὶ τοὺς εἰρημένους πολέμους διατρίβοντος, εὐδοκίμει· καὶ γὰρ ἐχιλιάρχησεν αὖθις μετὰ τὴν ὑπατείαν, οὐδενὸς ἐπείγοντος· ἀπαλλαγεὶς δὲ τοῦ ἄρχειν, καὶ πρεσβύτερος ὢν, ἠλέγχετο μᾶλλον, ἐν οὐκ ἔχοντι πράξεις ἔτι τῷ λοιπῷ βίῳ σπαργῶντι τὰ πρὸς δόξαν καὶ νεανίζοντι τῷ πάθει κατέχειν ἑαυτὸν οὐ δυνάμενος· τοιαύτῃ γάρ τινι καὶ τὸ περὶ Ἀννίβαν φορᾷ ἐδόκει πράξας, ἐπαχθὴς γενέσθαι τοῖς πολλοῖς. Ὁ γὰρ Ἀννίβας, οἴκοθεν μὲν ἐκ Καρχηδόνος ὑπεκδρὰς, Ἀντιόχῳ συνῆν. Ἐκείνου δὲ μετὰ τὴν ἐν Φρυγίᾳ μάχην εἰρήνης ἀγαπητῶς τυχόντος, αὖθις φυγὼν καὶ πλανηθεὶς πολλὰ, τέλος ἐν τῇ Βιθυνίᾳ κατέστη, Προυσίαν θεραπεύων, οὐδενὸς Ῥωμαίων ἀγνοοῦντος, ἀλλὰ παρορώντων ἁπάντων δι' ἀσθένειαν καὶ γῆρας, ὥσπερ ἐῤῥιμμένον ὑπὸ τῆς τύχης. Τίτος δὲ, πρεσβευτὴς δι' ἑτέρας δή τινας πράξεις ὑπὸ τῆς βουλῆς πρὸς τὸν Προυσίαν ἀφικόμενος, καὶ τὸν Ἀννίβαν ἰδὼν αὐτόθι διαιτώμενον, ἠγανάκτησεν, εἰ ζῇ, καὶ, πολλὰ τοῦ Προυσίου δεομένου καὶ λιπαροῦντος ὑπὲρ ἀνδρὸς ἱκέτου καὶ συνήθους, οὐ παρῆκε. Χρησμοῦ δέ τινος, ὡς ἔοικε, παλαιοῦ περὶ τῆς Ἀννίβου τελευτῆς οὕτως ἔχοντος,

Λίβυσσα κρύψει βῶλος Ἀννίβου δέμας,

ὁ μὲν ἄρα Λιβύην ὑπενόει καὶ τὰς ἐν Καρχηδόνι ταφὰς, ὡς ἐκεῖ καταβιωσόμενος. Ἐν δὲ Βιθυνίᾳ τόπος ἐστὶ θινώδης ἀπὸ θαλάσσης, καὶ πρὸς αὐτῷ κώμη τις οὐ μεγάλη, ἣ Λίβυσσα καλεῖται. Περὶ ταύτην ἔτυχε διατρίβων Ἀννίβας. Ἀεὶ δ' ἀπιστῶν τῇ τοῦ Προυσίου μαλακίᾳ, καὶ φοβούμενος τοὺς

Ῥωμαίους, τὴν οἰκίαν ἔτι πρότερον ἐξόδοις ἑπτὰ καταγείοις συντετρημένην ἐκ τῆς ἑαυτοῦ διαίτης εἶχεν, ἄλλου κατ' ἄλλο τῶν ὑπονόμων, πόῤῥω δὲ πάντων ἀδήλως ἐκφερόντων. Ὡς οὖν ἤκουσε τότε τὸ πρόσταγμα τοῦ Τίτου, φεύγειν μὲν ὥρμησε διὰ τῶν ὑπονόμων, ἐντυχὼν δὲ φυλακαῖς βασιλικαῖς, ἔγνω δι' αὐτοῦ τελευτᾶν. Ἔνιοι μὲν οὖν λέγουσιν, ὡς ἱμάτιον τῷ τραχήλῳ περιβαλὼν, καὶ κελεύσας οἰκέτῃ, ὄπισθεν ἐρείσαντα κατὰ τοῦ ἰσχίου τὸ γόνυ, καὶ σφοδρῶς ἀνακλάσαντα, συντεῖναι καὶ περιστρέψαι, μέχρις ἂν ἐκθλίψας τὸ πνεῦμα διαφθείρειεν αὐτόν· ἔνιοι δὲ, μιμησάμενον Θεμιστοκλέα καὶ Μίδαν, αἷμα ταύρειον πιεῖν. Λίβιος δέ φησι, φάρμακον ἔχοντα κεράσαι, καὶ τὴν κύλικα δεξάμενον, εἰπεῖν· „Ἀναπαύσωμεν ἤδη ποτὲ τὴν πολλὴν φροντίδα Ῥωμαίων, οἳ μακρὸν ἡγήσαντο καὶ βαρὺ, μισουμένου γέροντος ἀναμεῖναι θάνατον. Οὐ μὴν οὐδὲ Τίτος ἀξιοζήλωτον ἀποίσεται νίκην, οὐδὲ τῶν προγόνων ἀξίαν, οἳ Πύῤῥῳ πολεμοῦντι καὶ κρατοῦντι τὴν μέλλουσαν ὑποπέμψαντες κατεμήνυσαν φαρμακείαν."

XXI. Οὕτω μὲν τὸν Ἀννίβαν ἀποθανεῖν λέγουσιν. Ἀπαγγελθέντων δὲ τούτων πρὸς τὴν σύγκλητον, οὐκ ὀλίγοις ἐπαχθὴς ἔδοξεν ὁ Τίτος, καὶ περιττὸς ἄγαν καὶ ὠμὸς, ὥσπερ ὄρνιν, ὑπὸ γήρως ἀπτῆνα καὶ κόλουρον, ἀφειμένον ζῆν χειροήθη, τὸν Ἀννίβαν ἀποκτείνας, οὐδενὸς ἐπείγοντος, ἀλλὰ διὰ δόξαν, ὡς ἐπώνυμος τοῦ θανάτου γένοιτο. Καὶ τὴν Ἀφρικανοῦ Σκηπίωνος ἐκτιθέντες πρᾳότητα καὶ μεγαλοψυχίαν, ἔτι μᾶλλον ἐθαύμαζον· ὃς ἀήττητον ὄντα καὶ φοβερὸν
331 ἐν Λιβύῃ καταπολεμήσας Ἀννίβαν, οὔτ' ἐξήλασεν, οὔτ' ἐξῃτήσατο παρὰ τῶν πολιτῶν· ἀλλὰ καὶ πρὸ τῆς μάχης εἰς λόγους ἐλθὼν ἐδεξιώσατο, καὶ μετὰ τὴν μάχην σπενδόμενος, οὐδὲν ἐπετόλμησεν, οὐδ' ἐπενέβη τῇ τύχῃ τοῦ ἀνδρός. Λέγεται δ' αὖθις ἐν Ἐφέσῳ συμβαλεῖν αὐτοὺς, καὶ πρῶτον μὲν ἐν τῷ συμπεριπατεῖν τοῦ Ἀννίβου τὴν προσήκουσαν ἐν ἀξιώματι τάξιν ἐκείνῳ προλαβόντος ἀνέχεσθαι καὶ περιπατεῖν ἀφελῶς τὸν Ἀφρικανόν· ἔπειτα, λόγου περὶ στρατηγῶν ἐμπεσόντος, καὶ τοῦ Ἀννίβου κράτιστον ἀποφηναμένου γεγονέναι τῶν στρατηγῶν Ἀλέξανδρον, εἶτα Πύῤῥον, τρίτον δ' αὐτὸν, ἡσυχῇ μειδιάσαντα τὸν Ἀφρικανὸν εἰπεῖν· Τί δ', εἰ μή σε ἐγὼ νενικήκειν; καὶ τὸν Ἀννίβαν· Οὐκ ἄν, ὦ Σκη-

πίων, φάναι, τρίτον ἐμαυτὸν, ἀλλὰ πρῶτον ἐποιούμην τῶν στρατηγῶν. Ταῦτα δὴ τοῦ Σκηπίωνος οἱ πολλοὶ θαυμάζοντες, ἐκάκιζον τὸν Τίτον, ὡς ἀλλοτρίῳ νεκρῷ προσενεγκόντα τὰς χεῖρας. Ἔνιοι δ' ἦσαν οἱ τὸ πεπραγμένον ἐπαινοῦντες, καὶ τὸν Ἀννίβαν, ἕως ἔζη, πῦρ ἡγούμενοι δεόμενον τοῦ ῥιπίζοντος. Μηδὲ γὰρ ἀκμάζοντος αὐτοῦ τὸ σῶμα Ῥωμαίοις καὶ τὴν χεῖρα φοβερὰν, ἀλλὰ τὴν δεινότητα καὶ τὴν ἐμπειρίαν γεγονέναι μετὰ τῆς ἐμφύτου πικρίας καὶ δυσμενείας· ὧν οὐδὲν ἀφαιρεῖ τὸ γῆρας· ἀλλ' ὑπομένειν τὴν φύσιν ἐν τῷ ἤθει, τὴν δὲ τύχην οὐ διαμένειν ὁμοίαν· ἀλλὰ μεταπίπτουσαν, ἐκκαλεῖσθαι ταῖς ἐλπίσι πρὸς τὰς ἐπιθέσεις τοὺς ἀεὶ τῷ μισεῖν πολεμοῦντας. Καὶ τὰ ὕστερά πως ἔτι μᾶλλον ἐμαρτύρησε τῷ Τίτῳ· τοῦτο μὲν Ἀριστόνικος ὁ τοῦ κιθαρῳδοῦ, διὰ τὴν Εὐμένους δόξαν ἐμπλήσας ἅπασαν ἀποστάσεων καὶ πολέμων τὴν Ἀσίαν· τοῦτο δὲ Μιθριδάτης, μετὰ Σύλλαν καὶ Φιμβρίαν, καὶ τοσοῦτον ὄλεθρον στρατευμάτων καὶ στρατηγῶν, αὖθις ἐπὶ Λεύκουλλον ἐκ γῆς ὁμοῦ καὶ θαλάττης ἀναστὰς τηλικοῦτος. Οὐ μὴν οὐδὲ Γαΐου Μαρίου ταπεινότερος Ἀννίβας ἔκειτο. Τῷ μὲν γὰρ βασιλεὺς φίλος ὑπῆρχε, καὶ βίος ἦν συνήθης, καὶ διατριβαὶ περὶ ναῦς καὶ ἵππους καὶ στρατιωτῶν ἐπιμέλεια. Τὰς δὲ Μαρίου τύχας Ῥωμαῖοι γελῶντες, ἀλωμένου καὶ πτωχεύοντος ἐν Λιβύῃ, μετὰ μικρὸν ἐν Ῥώμῃ σφαττόμενοι καὶ μαστιγούμενοι προσεκύνουν. Οὕτως οὐδὲν οὔτε μικρὸν, οὔτε μέγα τῶν παρόντων πρὸς τὸ μέλλον ἐστὶν, ἀλλὰ μία τοῦ μεταβάλλειν τελευτὴ ἡ καὶ τοῦ εἶναι. Διὸ καί φασιν ἔνιοι, τὸν Τίτον οὐκ ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι, πεμφθῆναι δὲ πρεσβευτὴν μετὰ Λευκίου Σκηπίωνος, οὐδὲν ἄλλο τῆς πρεσβείας ἐχούσης ἔργον, ἢ τὸν Ἀννίβου θάνατον. Ἐπεὶ δὲ οὐδεμίαν ἔτι τούτων κατόπιν οὔτε πολιτικὴν τοῦ Τίτου πρᾶξιν, οὔτε πολεμικὴν, ἱστορήκαμεν, ἀλλὰ καὶ τελευτῆς ἔτυχεν εἰρηνικῆς, ὥρα τὴν σύγκρισιν ἐπισκοπεῖν.

COMPARATIO PHILOPOEMENIS
CUM T. QUINTIO FLAMININO.

Μεγέθει μὲν οὖν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν, οὔτε Φιλοποίμενα Τίτῳ παραβάλλειν, οὔτε πάνυ πολλοὺς τῶν Φιλοποίμενος ἀμεινόνων ἀνδρῶν ἄξιόν ἐστι. Τοῖς μὲν γὰρ Ἕλλησι πρὸς Ἕλληνας ὁ πόλεμος, τῷ δ' οὐχ Ἕλληνι, καὶ ὑπὲρ Ἑλλήνων. Καὶ ὅτε Φιλοποίμην, ἀμηχανῶν τοῖς ἑαυτοῦ πολίταις ἀμύνειν πολεμουμένοις, εἰς Κρήτην ἀπῆρε, τότε νικήσας Τίτος ἐν μέσῃ τῇ Ἑλλάδι Φίλιππον, ἠλευθέρου καὶ τὰ ἔθνη καὶ πόλεις ἁπάσας. Εἰ δέ τις ἐξετάζοι τὰς μάχας ἑκατέρου, πλείους Ἕλληνας Φιλοποίμην Ἀχαιῶν στρατηγῶν, ἢ Μακεδόνας Τίτος Ἕλλησι βοηθῶν, ἀνεῖλε. Τὰ τοίνυν ἁμαρτήματα, τοῦ μὲν φιλοτιμίας, τοῦ δὲ φιλονεικίας γέγονε·
382 καὶ πρὸς ὀργὴν ὁ μὲν εὐκίνητος ἦν, ὁ δὲ καὶ δυσπαραίτητος. Τίτος μὲν γὰρ καὶ Φιλίππῳ τὸ ἀξίωμα τῆς βασιλείας ἐφύλασσε, καὶ πρὸς Αἰτωλοὺς εὐγνωμόνησε· Φιλοποίμην δὲ τῆς πατρίδος δι' ὀργὴν ἀφείλετο τὴν περιοικίδα συντέλειαν. Ἔτι δ' ὁ μὲν τοῖς εὖ παθοῦσιν ἀεὶ βέβαιος, ὁ δὲ θυμῷ λῦσαι χάριν ἕτοιμος. Λακεδαιμονίων μὲν γὰρ εὐεργέτης πρότερον ὤν, ὕστερον καὶ τὰ τείχη κατέσκαψε, καὶ τὴν χώραν περιέκοψε, καὶ τέλος αὐτὴν μετέβαλε καὶ διέφθειρε τὴν πολιτείαν. Ἐδόκει δὲ καὶ τὸν βίον ὀργῇ προέσθαι καὶ φιλονεικίᾳ, μὴ κατὰ καιρὸν, ἀλλ' ὀξύτερον τοῦ δέοντος, εἰς Μεσσήνην ἐπειχθεὶς, οὐχ, ὥσπερ Τίτος, πάντα λογισμῷ καὶ πρὸς ἀσφάλειαν στρατηγήσας.

II. Ἀλλὰ πλήθει γε πολέμων καὶ τροπαίων ἡ Φιλοποίμενος ἐμπειρία βεβαιοτέρα. Τῷ μὲν γὰρ τὰ πρὸς Φίλιππον

ἐκρίθη δυοῖν ἀγώνοιν· ὁ δὲ, μυρίας μάχας κατορθώσας, οὐδεμίαν ἀμφισβήτησιν τῇ τύχῃ πρὸς τὴν ἐπιστήμην ἀπολέλοιπεν. Ἔτι δ' ὁ μὲν, τῇ Ῥωμαίων ἀκμὴν ἐχούσῃ δυνάμει χρησάμενος, ὁ δὲ, τῆς Ἑλλάδος ἤδη φθινούσης ἐπακμάσας, δόξαν ἔσχεν· ὥστε τοῦ μὲν ἴδιον, τοῦ δὲ κοινὸν ἔργον εἶναι τὸ κατορθούμενον. Ὁ μὲν γὰρ ἦρχεν ἀγαθῶν, ὁ δ' ἄρχων ἀγαθοὺς ἐποίει. Καὶ μὴν τῷ γε πρὸς Ἕλληνας τούτῳ γενέσθαι τοὺς ἀγῶνας, οὐκ εὐτυχῆ μὲν, ἰσχυρὰν δὲ τῆς ἀρετῆς ἀπόδειξιν παρεῖχεν· οἷς γὰρ ὅμοια τἄλλα, τῷ προὔχειν ἀρετῇ κρατοῦσι. Καὶ γὰρ δὴ πολεμικωτάτοις Ἑλλήνων Κρησὶ καὶ Λακεδαιμονίοις πολεμήσας, τῶν μὲν πανουργοτάτων δόλῳ, τῶν δ' ἀλκιμωτάτων τόλμῃ περιεγένετο. Πρὸς δὲ τούτοις, Τίτος μὲν ἐξ ὑποκειμένων ἐνίκα, χρώμενος ὁπλισμοῖς καὶ τάξεσιν, αἷς παρέλαβε· Φιλοποίμην δ' αὐτὸς ἐπεισενεγκὼν, καὶ μεταβαλὼν τὸν περὶ ταῦτα κόσμον· ὥστε τὸ νικητικώτατον ὑφ' οὗ μὲν οὐκ ὂν εὑρῆσθαι, τῷ δ' ὑπάρχον βοηθεῖν. Κατὰ χεῖρα τοίνυν Φιλοποίμενος μὲν ἔργα πολλὰ καὶ μεγάλα, θατέρου δ' οὐδέν. Ἀλλὰ καὶ τῶν Αἰτωλῶν τις αὐτὸν Ἀρχέδημος ἐπέσκωπτεν, ὡς, ὅτ' αὐτὸς ἐσπασμένος τὴν μάχαιραν, ἔθει δρόμῳ πρὸς τοὺς μαχομένους, καὶ τοὺς συνεστῶτας τῶν Μακεδόνων, τοῦ Τίτου τὰς χεῖρας εἰς τὸν οὐρανὸν ὑπτίας ἀνατείναντος, ἑστῶτος καὶ προσευχομένου.

III. Καὶ μὴν Τίτῳ μὲν ἄρχοντι συνέβη καὶ πρεσβεύοντι πάντα πρᾶξαι τὰ καλά· Φιλοποίμην δ' οὐ χείρονα παρέσχεν, οὐδ' ἀπρακτότερον ἑαυτὸν ἰδιώτην, ἢ στρατηγὸν, τοῖς Ἀχαιοῖς. Στρατηγὸς μὲν γὰρ ὢν, Νάβιν ἐξέβαλεν ἐκ Μεσσήνης, καὶ Μεσσηνίους ἠλευθέρωσεν· ἰδιώτης δὲ, Διοφάνην τὸν στρατηγὸν, καὶ Τίτον ἐπερχομένους ἀπέκλεισε τῆς Σπάρτης, καὶ Λακεδαιμονίους διέσωσεν. Οὕτως ἡγεμονικὴν φύσιν ἔχων, οὐ κατὰ τοὺς νόμους, ἀλλὰ καὶ τῶν νόμων ἄρχειν ἠπίστατο πρὸς τὸ συμφέρον· οὐ δεόμενος παρὰ τῶν ἀρχομένων λαβεῖν τὸ ἄρχειν, ἀλλὰ χρώμενος αὐτὸς, ὅπου καιρὸς εἴη, τὸν ὑπὲρ αὐτῶν φρονοῦντα μᾶλλον, ἢ τὸν ὑπ' αὐτῶν ᾑρημένον, ἡγούμενος στρατηγόν. Γενναῖα μὲν οὖν Τίτου τὰ πρὸς τοὺς Ἕλληνας ἐπιεικῆ καὶ φιλάνθρωπα, γενναιότερα δὲ Φιλοποίμενος τὰ πρὸς τοὺς Ῥωμαίους ἐχυρὰ καὶ φιλελεύθερα· ῥᾷον γὰρ χαρίζεσθαι τοῖς δεομένοις, ἢ λυπεῖν ἀντιτείνοντα τοὺς δυνατωτέρους. Ἐπεὶ δ' οὕτως ἐξεταζομένων δυσθεώρητος ἡ

διαφορᾷ, σκόπει, μὴ τῷ μὲν Ἕλληνι τὸν ἐμπειρίας πολεμικῆς καὶ στρατηγίας στέφανον, τῷ δὲ Ῥωμαίῳ τὸν δικαιοσύνης καὶ χρηστότητος ἀποδιδόντες, οὐ φαύλως διαιτᾷν δόξωμεν.

ΠΥΡΡΟΣ.

383 Θεσπρωτῶν καὶ Μολοσσῶν μετὰ τὸν κατακλυσμὸν ἱστοροῦσι Φαέθοντα βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ Πελασγοῦ παραγενομένων εἰς τὴν Ἤπειρον· ἔνιοι δὲ Δευκαλίωνα καὶ Πύῤῥαν, εἱσαμένους τὸ περὶ Δωδώνην ἱερὸν, αὐτόθι κατοικεῖν ἐν Μολοσσοῖς. Χρόνῳ δ' ὕστερον Νεοπτόλεμος ὁ Ἀχιλλέως, λαὸν ἀγαγὼν, αὐτός τε τὴν χώραν κατέσχε, καὶ διαδοχὴν βασιλέων ἀφ' αὐτοῦ κατέλιπε, Πυῤῥίδας ἐπικαλουμένους. Καὶ γὰρ αὐτῷ Πύῤῥος ἦν παιδικὸν ἐπωνύμιον, καὶ τῶν γνησίων παίδων ἐκ Λανάσσης τῆς Κλεοδαίου τοῦ Ὕλλου γενομένων ἕνα Πύῤῥον ὠνόμασεν. Ἐκ τούτου δὲ καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν, Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. Μετὰ δὲ τοὺς πρώτους, τῶν διὰ μέσου βασιλέων ἐκβαρβαρωθέντων, καὶ γενομένων τῇ τε δυνάμει καὶ τοῖς βίοις ἀμαυροτέρων, Θαῤῥύπαν πρῶτον ἱστοροῦσιν, Ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις διακοσμήσαντα τὰς πόλεις, ὀνομαστὸν γενέσθαι. Θαῤῥύπου δ' Ἀλκέτας υἱὸς ἦν, Ἀλκέτου δ' Ἀρύβας, Ἀρύβα δὲ καὶ Τρωϊάδος Αἰακίδης. Οὗτος ἔγημε τὴν Μένωνος τοῦ Θεσσαλοῦ θυγατέρα, Φθίαν, ἀνδρὸς εὐδοκίμου περὶ τὸν Λαμιακὸν πόλεμον γενομένου, καὶ μέγιστον ἀξίωμα τῶν συμμάχων μετὰ Λεωσθένην λαβόντος. Ἐκ δὲ τῆς Φθίας τῷ Αἰακίδῃ γίνονται θυγατέρες Δηϊδάμεια καὶ Τρωϊὰς, υἱὸς δὲ Πύῤῥος.

II. Ἐπεὶ δὲ στασιάσαντες οἱ Μολοσσοὶ, καὶ τὸν Αἰακίδην ἐκβαλόντες, ἐπηγάγοντο τοὺς Νεοπτολέμου παῖδας, οἱ μὲν φίλοι τοῦ Αἰακίδου διεφθάρησαν καταληφθέντες, τὸν δὲ

*Πύῤῥον ἔτι νήπιον ὄντα, καὶ ζητούμενον ὑπὸ τῶν πολε-
μίων, ἐκκλέψαντες οἱ περὶ Ἀνδροκλείδην καὶ Ἄγγελον ἔφευ-
γον, οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον
ἀναγκαίως ἐφελκόμενοι. Καὶ διὰ τοῦτο τῆς φυγῆς γινομέ-
νης αὐτοῖς δυσέργου καὶ βραδείας, καταλαμβανόμενοι, τὸ
μὲν παιδίον ἐγχειρίζουσιν Ἀνδροκλείωνι καὶ Ἱππίᾳ καὶ Νεάν-
δρῳ, νεανίσκοις οὖσι πιστοῖς καὶ ῥωμαλέοις, ἀνὰ κράτος φεύ-
γειν καὶ Μεγάρων ἔχεσθαι, χωρίου Μακεδονικοῦ, προστάξαν-
τες. Αὐτοὶ δὲ, τὰ μὲν δεόμενοι, τὰ δ' ἀπομαχόμενοι, τοῖς
διώκουσιν ἐμποδὼν ἦσαν ἄχρι δείλης ὀψίας. Ἀποτραπομέ-
νων δὲ μόλις ἐκείνων, μετέθεον τοὺς τὸν Πύῤῥον κομίζον-
τας. Ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος ἐγγὺς γενόμενοι, τῆς
ἐλπίδος ἐξαίφνης ἀπεκόπησαν, ἐντυχόντες τῷ παρὰ τὴν πό-
λιν παραῤῥέοντι ποταμῷ, χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ,
πειρωμένοις δὲ διαβῆναι παντάπασιν ἀπορωτάτῳ. Πολύ τε
γὰρ ἐξέπιπτε ῥεῦμα καὶ θολερὸν, ὄμβρων ἐπιγενομένων, καὶ
τὸ σκότος ἐποίει πάντα φοβερώτερα. Καθ' αὑτοὺς μὲν οὖν
ἀπέγνωσαν ἐπιχειρεῖν, παιδίον φερόμενοι, καὶ γύναια τὰ
τρέφοντα τὸ παιδίον· αἰσθόμενοι δὲ τῶν ἐπιχωρίων τινὰς ἐν
τῷ πέραν ἑστῶτας, ἐδέοντο συλλαβέσθαι πρὸς τὴν διάβασιν,
καὶ τὸν Πύῤῥον ἀνεδείκνυσαν, βοῶντες καὶ ἱκετεύοντες. Οἱ* 384
*δὲ οὐ κατήκουον διὰ τραχύτητα καὶ πάταγον τοῦ ῥεύματος·
ἀλλ' ἦν διατριβὴ, τῶν μὲν βοώντων, τῶν δὲ μὴ συνιέντων·
ἄχρι τις ἐννοήσας, καὶ περιελὼν δρυὸς φλοιὸν, ἐνέγραψε
πόρπῃ γράμματα φράζοντα τήν τε χρείαν καὶ τὴν τύχην τοῦ
παιδός· εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας, καὶ χρησάμενος
οἷον ἕρματι τῆς βολῆς, ἀφῆκεν εἰς τὸ πέραν. Ἔνιοι δέ φασι,
σαυνίῳ περιπήξαντας ἀκοντίσαι τὸν φλοιόν. Ὡς δ' οὖν ἀνέ-
γνωσαν οἱ πέραν τὰ γράμματα, καὶ συνεῖδον τὴν ὀξύτητα
τοῦ καιροῦ, κόπτοντες ξύλα καὶ πρὸς ἄλληλα συνδέοντες
ἐπεραιοῦντο. Καὶ κατὰ τύχην ὁ πρῶτος αὐτῶν περαιωθεὶς,
Ἀχιλλεὺς τοὔνομα, τὸν Πύῤῥον ἐδέξατο· τοὺς δ' ἄλλους, ὡς
ἔτυχον, οἱ ἄλλοι διεκόμιζον.*

III. *Οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν, εἰς
Ἰλλυριοὺς παρεγένοντο πρὸς Γλαυκίαν τὸν βασιλέα· καὶ
καθεζόμενον εὑρόντες οἴκοι μετὰ τῆς γυναικὸς, ἐν μέσῳ τὸ
παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν. Ὁ δ' ἦν ἐπὶ γνώμης, Κάσ-
σανδρον δεδοικὼς, ἐχθρὸν ὄντα τοῦ Αἰακίδου, καὶ συχνὴν*

εἶχε πολὺν χρόνον βουλευόμενος. Ἐν τούτῳ δ' ὁ Πύῤῥος ἀπ' αὐτομάτου προσερπύσας, καὶ λαβόμενος τοῦ ἱματίου ταῖς χερσὶ, καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ Γλαυκίου, γέλωτα πρῶτον, εἶτ' οἶκτον παρέσχεν, ὥσπερ τις ἱκέτης δεόμενος καὶ δακρύων. Ἔνιοι δέ φασιν, οὐ τῷ Γλαυκίᾳ προςπεσεῖν αὐτὸν, ἀλλὰ βωμοῦ θεῶν προσαψάμενον, ἑστάναι προς αὐτῷ περιβαλόντα τὰς χεῖρας· καὶ τὸ πρᾶγμα τῷ Γλαυκίᾳ θεῖον φανῆναι. Διὸ καὶ παραυτίκα τὸν Πύῤῥον ἐνεχείρισε τῇ γυναικὶ, κελεύσας ἅμα τοῖς τέκνοις τρέφεσθαι, καὶ μικρὸν ὕστερον ἐξαιτουμένων τῶν πολεμίων, Κασσάνδρου δὲ καὶ διακόσια τάλαντα διδόντος, οὐκ ἐξέδωκεν· ἀλλὰ καὶ γενόμενον δυοκαίδεκα ἐτῶν, καταγαγὼν εἰς Ἤπειρον μετὰ δυνάμεως, βασιλέα κατέστησεν. Ἦν δ' ὁ Πύῤῥος τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἔχων, ἢ σεμνότερον, τὸ βασιλικόν· πολλοὺς δ' ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. Τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. Οὐδεὶς δ' ἦν πένης, οὔτ' ἄδοξος οὕτως, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. Ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. Λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν θείαν, ὥστε μετὰ τὴν τελευτὴν, τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι. Ταῦτα μὲν οὖν ὕστερον.

IV. Γενομένῳ δὲ περὶ ἑπτακαίδεκα ἔτη, καὶ δοκοῦντι τὴν ἀρχὴν ἔχειν βεβαίως, ἀποδημία τις συνέτυχε, τῶν Γλαυκίου παίδων ἑνὸς, οἷς συνετέθραπτο, γυναῖκα λαμβάνοντος. Πάλιν οὖν οἱ Μολοττοὶ συστάντες ἐξέβαλον τοὺς φίλους αὐτοῦ, καὶ τὰ χρήματα διήρπασαν, καὶ Νεοπτολέμῳ παρέδωκαν ἑαυτούς. Ὁ δὲ Πύῤῥος οὕτω τὴν ἀρχὴν ἀποβαλὼν, καὶ γενόμενος πάντων ἔρημος, Δημητρίῳ τῷ Ἀντιγόνου προσέμιξεν ἑαυτὸν, ἔχοντι τὴν ἀδελφὴν αὐτοῦ, Δηϊδάμειαν· ἣν ἔτι μὲν οὖσαν κόρην ὠνόμαζον Ἀλεξάνδρου τοῦ Ῥωξάνης γυναῖκα, τῶν δὲ κατ' ἐκείνους δυστυχηθέντων, ὥραν ἔχουσαν αὐτὴν ἔγημεν ὁ Δημήτριος. Τῆς δὲ μεγάλης μάχης, ἣν ἐν Ἰψῷ πάντες οἱ βασιλεῖς ἠγωνίσαντο, παρὼν ὁ Πύῤῥος τοῖς περὶ Δημήτριον συμμετεῖχε, μειράκιον ὢν ἔτι, καὶ τοὺς

καθ' αὑτὸν ἐτρέψατο, καὶ διεφάνη λαμπρὸς ἐν τοῖς μαχομένοις. Πταίσαντα δὲ Δημήτριον οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ Ἑλλάδι πόλεις πιστευθεὶς διεφύλαξε· καὶ συμβάσεων αὐτῷ γενομένων πρὸς Πτολεμαῖον, ἔπλευσεν εἰς Αἴγυπτον ὁμηρεύσων. Καὶ Πτολεμαίῳ μὲν ἔν τε θήραις καὶ γυμνασίοις ἐπίδειξιν ἀλκῆς καὶ καρτερίας παρεῖχε· τὴν δὲ Βερενίκην ὁρῶν μέγιστον δυναμένην, καὶ πρατεύουσαν ἀρετῇ καὶ φρονήσει τῶν Πτολεμαίου γυναικῶν, ἐθεράπευε μάλιστα· καὶ δεινὸς ὢν ὑπελθεῖν ἐπ' ὠφελείᾳ τοὺς κρείττονας, ὥσπερ ὑπερόπτης τῶν ταπεινοτέρων, κόσμιος δὲ καὶ σώφρων περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη λαβεῖν Ἀντιγόνην γυναῖκα, τῶν Βερενίκης θυγατέρων, ἣν ἔσχεν ἐκ Φιλίππου, πρὶν ἢ Πτολεμαίῳ συνοικεῖν. 385

V. Μετὰ δὲ τὸν γάμον τοῦτον, ἔτι μᾶλλον εὐδοκιμῶν, καὶ γυναικὸς ἀγαθῆς τῆς Ἀντιγόνης περὶ αὐτὸν οὔσης, διεπράξατο, χρήματα λαβὼν καὶ δύναμιν, εἰς Ἤπειρον ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι. Καὶ παρῆν οὐκ ἄκουσι πολλοῖς διὰ τὴν ἀπέχθειαν τοῦ Νεοπτολέμου, χαλεπῶς καὶ βιαίως ἄρχοντος. Πλὴν ἀλλὰ δείσας, μὴ πρός τινα τῶν ἄλλων βασιλέων ὁ Νεοπτόλεμος τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς. Χρόνου δὲ προϊόντος ἦσαν οἱ παροξύνοντες αὐτοὺς κρύφα, καὶ κατ' ἀλλήλων ἐμποιοῦντες ὑποψίας. Ἡ μέντοι μάλιστα κινήσασα τὸν Πύῤῥον αἰτία λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. Εἰώθεισαν οἱ βασιλεῖς ἐν Πασσαρῶνι, χωρίῳ τῆς Μολοττίδος, Ἀρείῳ Διῒ θύσαντες, ὁρκωμοτεῖν τοῖς Ἠπειρώταις καὶ ὁρκίζειν, αὐτοὶ μὲν ἄρξειν κατὰ τοὺς νόμους, ἐκείνους δὲ τὴν βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. Ταῦτ' οὖν ἐδρᾶτο ἀμφοτέρων τῶν βασιλέων παρόντων, καὶ συνῆσαν ἀλλήλοις μετὰ τῶν φίλων, δῶρα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ λαμβάνοντες. Ἐνταῦθα δὴ Γέλων, ἀνὴρ πιστὸς Νεοπτολέμῳ, δεξιωσάμενος φιλοφρόνως τὸν Πύῤῥον, ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. Ταῦτα Μυρτίλος, ὁ ἐπὶ τοῦ οἴνου, παρὼν ᾔτει τὸν Πύῤῥον· ἐκείνου δὲ μὴ διδόντος, ἀλλ' ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ Μυρτίλος οὐκ ἔλαθε τὸν Γέλωνα. Καλέσας οὖν αὐτὸν ἐπὶ δεῖπνον, ὡς δέ φασιν ἔνιοι, καὶ χρησάμενος παρ' οἶνον ὥραν ἔχοντι, λόγους προσήνεγκε, παρακαλῶν ἑλέσθαι τὰ τοῦ Νεοπτολέμου, καὶ φαρμάκοις διαφθεῖραι τὸν Πύῤῥον. Ὁ δὲ

Μυρτίλος ἐδέξατο μὲν τὴν πεῖραν, ὡς ἐπαινῶν καὶ συμπε-
πεισμένος, ἐμήνυσε δὲ τῷ Πύῤῥῳ· καὶ κελεύσαντος ἐκείνου,
τὸν ἀρχιοινοχόον Ἀλεξικράτην τῷ Γέλωνι συνέστησεν, ὡς δὴ
μεθέξοντα τῆς πράξεως αὐτοῖς. Ἐβούλετο γὰρ ἐν πλείοσιν
ὁ Πύῤῥος τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήματος. Οὕτω δὲ
τοῦ Γέλωνος ἐξαπατωμένου, συνεξαπατώμενος ὁ Νεοπτόλε-
μος, καὶ τὴν ἐπιβουλὴν ὁδῷ βαδίζειν οἰόμενος, οὐ κατεῖχεν,
ἀλλ' ὑπὸ χαρᾶς ἐξέφερε πρὸς τοὺς φίλους. Καί ποτε κω-
μάσας παρὰ τὴν ἀδελφὴν Καδμείαν, ἐχρῆτο λαλιᾷ περὶ τού-
των, οὐδένα συνακούειν οἰόμενος. Οὐδεὶς γὰρ ἦν πλησίον
ἄλλος, ἢ Φαιναρέτη, γυνὴ Σάμωνος, τοῦ τὰ ποίμνια καὶ
τὰ βουκόλια τῷ Νεοπτολέμῳ διοικοῦντος. Αὕτη δ' ἀπε-
στραμμένη πρὸς τοῖχον ἐπὶ κλίνης τινὸς, ἐδόκει καθεύδειν.
Συνήκοος δὲ πάντων γενομένη καὶ λαθοῦσα, μεθ' ἡμέραν
ἧκε πρὸς Ἀντιγόνην, τὴν Πύῤῥου γυναῖκα, καὶ πάντα κατ-
εῖπεν, ὅσα τοῦ Νεοπτολέμου πρὸς τὴν ἀδελφὴν ἤκουσε λέ-
γοντος. Πυθόμενος δ' ὁ Πύῤῥος, ἐκεῖ μὲν ἡσυχίαν ἦγεν·
ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον τὸν Νεοπτόλεμον, ἀπέκτει-
νεν, αἰσθόμενος τῶν Ἠπειρωτῶν τοὺς κρατίστους προσέχον-
τας αὐτῷ, καὶ παρακελευομένους ἀπαλλαγῆναι τοῦ Νεοπτο-
386 λέμου, καὶ μὴ μερίδα μικρὰν ἔχοντα βασιλείας ἀγαπᾷν, ἀλλὰ
τῇ φύσει χρήσασθαι, μειζόνων πραγμάτων ἀντιλαμβανόμε-
νον· καί τινος ὑποψίας ἅμα προσγενομένης, τὸν Νεοπτόλε-
μον φθάσας ἀνελεῖν.

VI. Μεμνημένος δὲ Βερενίκης καὶ Πτολεμαίου, παιδίον
μὲν αὐτῷ γενόμενον ἐξ Ἀντιγόνης, Πτολεμαῖον ὠνόμασεν,
οἰκίσας δὲ πόλιν ἐν τῇ χεῤῥονήσῳ τῆς Ἠπείρου, Βερενικίδα
προσηγόρευσεν. Ἐκ δὲ τούτου, πολλὰ μὲν περινοῶν καὶ
μεγάλα τῇ γνώμῃ, ταῖς δ' ἐλπίσι μάλιστα καὶ πρῶτον ἀντι-
λαμβανόμενος τῶν πλησίον, εὗρεν ἐμφῦναι τοῖς Μακεδόνων
πράγμασιν ἐκ τοιᾶσδέ τινος προφάσεως. Τῶν Κασσάνδρου
παίδων ὁ πρεσβύτερος Ἀντίπατρος τήν τε μητέρα Θεσσαλο-
νίκην ἀνεῖλε, καὶ τὸν ἀδελφὸν Ἀλέξανδρον ἤλαυνεν. Ὁ δὲ
πρός τε Δημήτριον ἔπεμψε, δεόμενος βοηθεῖν, καὶ Πύῤῥον
ἐκάλει. Δημητρίου δὲ ὑπ' ἀσχολιῶν βραδύνοντος, ἐπελθὼν
ὁ Πύῤῥος ᾔτησε μισθὸν τῆς συμμαχίας, τήν τε Νυμφαίαν
καὶ τὴν παραλίαν τῆς Μακεδονίας, καὶ τῶν ἐπικτήτων ἐθνῶν,
Ἀμβρακίαν, Ἀκαρνανίαν, Ἀμφιλοχίαν. Προεμένου δὲ τοῦ

τανίσκου, ταῦτα μὲν αὐτὸς εἶχε, φρουραῖς καταλαβὼν, τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ, περιέκοπτε τὸν Ἀντίπατρον. Λυσίμαχος δ' ὁ βασιλεὺς, αὐτὸς μὲν ἦν ἐν ἀσχολίαις, προθυμούμενος Ἀντιπάτρῳ βοηθεῖν, εἰδὼς δὲ τὸν Πύῤῥον οὐδὲν ἀχαριστεῖν, οὐδ' ἀρνεῖσθαι Πτολεμαίῳ βουλόμενον, ἔπεμψε πλαστὰ γράμματα πρὸς αὐτὸν, ὡς Πτολεμαίου κελεύοντος ἀπαλλάττεσθαι τῆς στρατείας, τριακόσια τάλαντα παρὰ τοῦ Ἀντιπάτρου λαβόντα. Λύσας δὲ τὴν ἐπιστολὴν ὁ Πύῤῥος, εὐθὺς τὸ ῥᾳδιούργημα τοῦ Λυσιμάχου συνεῖδεν· οὐ γὰρ ἦν ἡ συνήθης γεγραμμένη προσαγόρευσις· „Ὁ πατὴρ τῷ υἱῷ χαίρειν·“ ἀλλὰ „Βασιλεὺς Πτολεμαῖος βασιλεῖ Πύῤῥῳ χαίρειν.“ Λοιδορήσας δὲ τὸν Λυσίμαχον, ὅμως ἐποιεῖτο τὴν εἰρήνην, καὶ συνῄεσαν ὡς κατὰ σφαγίων ὁρκωμοτήσοντες. Ἐπεὶ δὲ, κάπρου καὶ ταύρου καὶ κριοῦ προσαχθέντος, ὁ κριὸς αὐτομάτως ἀπέθανε, τοῖς μὲν ἄλλοις γελᾷν ἐπῄει, τὸν δὲ Πύῤῥον ὁ μάντις Θεόδοτος ὀμόσαι διεκώλυσε, φήσας τὸ δαιμόνιον ἑνὶ προσημαίνειν τῶν τριῶν βασιλέων θάνατον. Ὁ μὲν οὖν Πύῤῥος οὕτως ἀπέστη τῆς εἰρήνης.

VII. Τῷ δ' Ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν ἐχόντων, ὅμως ὁ Δημήτριος ἀφίκετο, καὶ δῆλος μὲν ἦν εὐθὺς ἥκων μὴ δεομένῳ, καὶ φόβον παρεῖχεν. Ὀλίγαις δ' ἡμέραις συγγενόμενοι, δι' ἀπιστίας ἐπεβούλευσαν ἀλλήλοις ἀμφότεροι. Καιρῷ δὲ χρησάμενος καὶ φθάσας ἀποκτίννυσιν ὁ Δημήτριος τὸ μειράκιον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδονίας. Ἦν μὲν οὖν καὶ πρότερον αὐτῷ πρὸς τὸν Πύῤῥον ἐγκλήματα, καὶ καταδρομαὶ τῆς Θεσσαλίας ἐγεγόνεισαν ὑπ' ἐκείνου, καὶ τὸ σύμφυτον νόσημα ταῖς δυναστείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν αὐτοῖς ἐπίφοβον καὶ ἄπιστον παρεῖχε, καὶ μᾶλλον ἔτι μετὰ τὴν τῆς Δηϊδαμείας τελευτήν. Ἐπεὶ δὲ καὶ κατασχόντες ἀμφότεροι Μακεδονίας, συνέπιπτον εἰς τὸ αὐτὸ, καὶ μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορὰ, Δημήτριος μὲν ἐπ' Αἰτωλοὺς στρατευσάμενος, καὶ κρατήσας, Πάνταυχον αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Πύῤῥον, καὶ Πύῤῥος ἐπ' ἐκεῖνον, ὡς ᾔσθετο. Γενομένης δὲ διαμαρτίας καθ' ὁδὸν, ἀλλήλους παρήλλαξαν· καὶ Δημήτριος μὲν ἐμβαλὼν εἰς Ἤπειρον ἐλεηλάτει, Πύῤῥος δὲ Πανταύχῳ περιπεσὼν, εἰς μάχην κατέστη. Καὶ τῶν στρατιωτῶν συμπεσόντων, δεινὸς ἦν καὶ μέγας ἀγὼν, μάλιστα

κατὰ τοὺς ἡγεμόνας. Ὅ,τε γὰρ Πάνταυχος, ἀνδρείᾳ καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριστος ὢν ὁμολογουμένως τῶν περὶ Δημήτριον στρατηγῶν, καὶ θάρσος ἔχων καὶ φρόνημα, προὐκαλεῖτο τὸν Πύῤῥον εἰς τὰς χεῖρας· ὅ τε Πύῤῥος, οὐ-
387 δενὶ τῶν βασιλέων ὑφιέμενος ἀλκῆς καὶ δόξης, καὶ τὴν Ἀχιλλέως δόξαν αὐτῷ δι' ἀρετὴν μᾶλλον, ἢ κατὰ γένος, συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τὸν Πάνταυχον. Ἦν δὲ δορατισμὸς τὸ πρῶτον, εἶτ' ἐν χεροῖν γενόμενοι, μετὰ τέχνης ἅμα καὶ βίας ἐχρῶντο τοῖς ξίφεσι. Λαβὼν δ' ὁ Πύῤῥος ἓν τραῦμα, δοὺς δὲ δύο, τὸ μὲν εἰς τὸν μηρὸν, τὸ δὲ παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν Πάνταυχον· οὐ μὴν ἀνεῖλεν· ἀνηρπάγη γὰρ ὑπὸ τῶν φίλων. Οἱ δ' Ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες, καὶ θαυμάσαντες τὴν ἀρετὴν, ἐβιάσαντο καὶ διέκοψαν τὴν φάλαγγα τῶν Μακεδόνων, καὶ φεύγοντας διώκοντες, ἀπέκτεινάν τε πολλοὺς, καὶ πεντακισχιλίους ζῶντας εἷλον.

VIII. Ὁ δ' ἀγὼν οὗτος οὐ τοσοῦτον ὀργῆς, ὧν ἔπαθον, οὐδὲ μίσους ἐνέπλησε τοὺς Μακεδόνας πρὸς τὸν Πύῤῥον, ὅσην δόξαν αὐτοῦ, καὶ θαῦμα τῆς ἀρετῆς, καὶ λόγον ἐνειργάσατο τοῖς ἰδοῦσι τὰ ἔργα, καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην. Καὶ γὰρ ὄψιν ᾤοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα τοῖς Ἀλεξάνδρου, καὶ τῆς φορᾶς ἐκείνου καὶ βίας παρὰ τοὺς ἀγῶνας ἐν τούτῳ σκιὰς ὁρᾶσθαι καὶ μιμήματα· τῶν μὲν ἄλλων βασιλέων ἐν πορφύραις καὶ δορυφόροις καὶ κλίσει τραχήλου, καὶ τῷ μεῖζον διαλέγεσθαι, μόνου δὲ Πύῤῥου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν Ἀλέξανδρον. Τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης αὐτοῦ καὶ δεινότητος ἔνεστι δείγματα λαβεῖν ἐκ τῶν γραμμάτων, ἃ περὶ τούτων ἀπολέλοιπε. Λέγεται δὲ καὶ Ἀντίγονος, ἐρωτηθεὶς, τίς ἄριστος τῶν στρατηγῶν, φάναι, Πύῤῥος, ἂν γηράσῃ, περὶ τῶν καθ' αὑτὸν οὕτως ἀποφηνάμενος μόνον. Ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν, πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύῤῥον, Σκηπίωνα δὲ δεύτερον, ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς περὶ Σκηπίωνος γέγραπται. Καὶ ὅλως τοῦτο μελετῶν ἔοικε καὶ φιλολογῶν ἀεὶ διατελεῖν ὁ Πύῤῥος, ὡς μαθημάτων βασιλικώτατον, τὰς δ' ἄλλας γλαφυρίας ἐν οὐδενὶ λόγῳ τίθεσθαι. Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ἔν τινι πότῳ,

πότῳ, πότερον φαίνεται αὐτῷ Πύθων αὐλητὴς ἀμείνων, ἢ Καφησίας, εἰπεῖν, ὅτι Πολυσπέρχων στρατηγός· ὡς ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν προσῆκον. Ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς, καὶ πρᾶος ὀργὴν, σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. Ἀερόπου γοῦν ἀποθανόντος, οὐκ ἤνεγκε μετρίως· ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων, ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων χάριν οὐκ ἀπέδωκεν αὐτῷ. Τὰ μὲν γὰρ χρέα καὶ κληρονόμοις ἐστὶν ἀποδοῦναι τῶν δανεισάντων, αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους, ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. Ἐν δὲ Ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον οἰομένων δεῖν μεταστῆσαι τὸν Πύῤῥον· Αὐτοῦ μένων, ἔφη, μᾶλλον ἡμᾶς ἐν ὀλίγοις, ἢ περιϊὼν πρὸς ἅπαντας ἀνθρώπους κακῶς λεγέτω. Καὶ τοὺς παρ' οἶνον αὐτὸν λοιδορήσαντας, εἶτ' ἐλεγχομένους, ἠρώτησεν, εἰ ταῦτα εἶπον. Ἀποκριναμένου δὲ τῶν νεανίσκων ἑνὸς, „Ταῦτα, ὦ βασιλεῦ· πλείονα δ' ἂν ἔτι τούτων εἰρήκειμεν, εἰ πλείων παρῆν οἶνος ἡμῖν," γελάσας ἀφῆκε.

IX. Γυναῖκας δὲ, πραγμάτων ἕνεκα καὶ δυνάμεως, πλείονας ἔγημε μετὰ τὴν Ἀντιγόνης τελευτήν. Καὶ γὰρ Αὐτολέοντος, τοῦ Παιόνων βασιλέως, ἔλαβε θυγατέρα, καὶ Βιρκένναν τὴν Βαρδύλλιος τοῦ Ἰλλυριῶν, καὶ Λάνασσαν τὴν Ἀγαθοκλέους τοῦ Συρακουσίου, προῖκα προσφερομένην αὐτῷ τὴν Κερκυραίων πόλιν, ἡλωκυῖαν ὑπ' Ἀγαθοκλέους. Ἐκ μὲν οὖν Ἀντιγόνης Πτολεμαῖον υἱὸν ἔσχεν, ἐκ δὲ Λανάσσης Ἀλέξανδρον, Ἕλενον δὲ τὸν νεώτατον ἐκ Βιρκέννης. Καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις ἐθρέψατο καὶ διαπύρους, 388
εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους ὑπ' αὐτοῦ. Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ὑφ' ἑνὸς αὐτῶν ἔτι παιδὸς ὄντος, ᾧτινι καταλείψει τὴν βασιλείαν, εἰπεῖν· Ὃς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ. Τοῦτο δ' οὐδὲν ἀποδεῖ τῆς τραγικῆς ἀρᾶς ἐκείνης· Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἀδελφούς. Οὕτως ἄμικτός ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις.

X. Μετὰ δὲ τὴν μάχην ταύτην ὁ Πύῤῥος, ἐπανελθὼν οἴκαδε λαμπρὸς ὑπὸ δόξης καὶ φρονήματος, ἔχαιρε· καὶ Ἀετὸς ὑπὸ τῶν Ἠπειρωτῶν προσαγορευόμενος· Δι' ὑμᾶς, ἔλε-

γεν, ἀετός εἰμι· πῶς γὰρ οὐ μέλλω τοῖς ὑμετέροις ὅπλοις, ὥσπερ ὠκυπτέροις, ἐπαιρόμενος; Ὀλίγῳ δ' ὕστερον πυθόμενος νοσεῖν τὸν Δημήτριον ἐπισφαλῶς, ἐνέβαλε μὲν ἐξαίφνης εἰς Μακεδονίαν, ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν ποιησόμενος. Παρ' ὀλίγον δ' ἦλθε πάντων ὁμοῦ κρατῆσαι, καὶ λαβεῖν ἀμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρις Ἐδέσσης, μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ συστρατευόντων. Αὐτόν τε δὴ τὸν Δημήτριον ὁ κίνδυνος ἐξανέστησε παρὰ δύναμιν, οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ χρόνῳ πολλοὺς ἀθροίσαντες, ἐῤῥωμένως καὶ προθύμως ἐπὶ τὸν Πύῤῥον ὥρμησαν. Ὁ δὲ λῃστρικώτερον ἀφιγμένος, οὐκ ἔμεινεν, ἀλλὰ φεύγων μέρος τι τῆς στρατιᾶς ἀπέβαλε, καθ' ὁδὸν ἐπιθεμένων τῶν Μακεδόνων. Οὐ μὴν, ὅτι ῥαδίως καὶ ταχὺ τὸν Πύῤῥον ἐξέβαλε τῆς χώρας ὁ Δημήτριος ἠμέλησεν· ἐγνωκὼς δὲ μεγάλων πραγμάτων ἀντιλαμβάνεσθαι, καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι δέκα μυριάσι στρατοῦ, καὶ ναυσὶ πεντακοσίαις, οὐκ ἐβούλετο τῷ Πύῤῥῳ περιπταῖσαι, οὐδ' ἀπολιπεῖν Μακεδόσι πάροικον ἐργώδη καὶ χαλεπόν· ἀλλ', ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν πρὸς αὐτὸν, διαλυθεὶς καὶ θέμενος εἰρήνην, οὕτως ἐπὶ τοὺς ἄλλους βασιλεῖς τραπέσθαι. Γενομένων δὲ διὰ ταῦτα τῶν ὁμολογιῶν, καὶ τῆς γνώμης ἅμα τῷ μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ Δημητρίου, φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν Πύῤῥον ἀγγέλους καὶ γράμματα, θαυμάζειν φάσκοντες, εἰ τὸν αὐτοῦ προέμενος καιρὸν, ἐν τῷ Δημητρίου πολεμῆσαι περιμένει, καὶ δυνάμενος Μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ πράττοντα καὶ ταραττόμενον, ἐκδέχεται σχολάζοντι καὶ μεγάλῳ γενομένῳ περὶ τῶν ἐν Μολοττοῖς ἱερῶν καὶ τάφων διαγωνίσασθαι· καὶ ταῦτα, Κέρκυραν ἔναγχος ἀφῃρημένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. Ἡ γὰρ Λάνασσα μεμψαμένη τὸν Πύῤῥον, ὡς μᾶλλον προσέχοντα ταῖς βαρβάροις γυναιξὶν, εἰς Κέρκυραν ἀπεχώρησε, καὶ δεομένη γάμων βασιλικῶν, ἐκάλει Δημήτριον, ἐπισταμένη μάλιστα τῶν βασιλέων εὐκόλως ἔχοντα πρὸς γάμους γυναικῶν. Ἐκεῖνος δὲ πλεύσας τῇ τε Λανάσσῃ συνῆλθε, καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε.

XI. Ταῦτα πρὸς τὸν Πύῤῥον οἱ βασιλεῖς γράφοντες, ἅμα καὶ δι' ἑαυτῶν ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν Δημήτριον ἐκίνουν. Πτολεμαῖος μὲν γὰρ ἐπιπλεύσας μεγάλῳ

στόλῳ, τὰς Ἑλληνίδας ἀφίστη πόλεις. Λυσίμαχος δὲ τὴν ἄνω Μακεδονίαν ἐκ Θρᾴκης ἐμβαλὼν ἐπόρθει. Πύῤῥος δὲ τούτοις ἅμα συνεξαναστὰς, ἐπὶ Βέροιαν ἤλαυνε, προσδοκῶν, ὅπερ συνέβη, Δημήτριον, ὑπαντιάζοντα Λυσιμάχῳ, τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. Ἐκείνης δὲ τῆς νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπ᾽ Ἀλεξάνδρου καλεῖσθαι τοῦ μεγάλου, καὶ παραγενόμενος, κλινήρη μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ φιλοφροσύνης, ἐπαγγελλομένου προθύμως βοηθήσειν. Αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν· Καὶ πῶς ἂν, ὦ βασιλεῦ, νοσῶν δυνατὸς εἴης ἐμοὶ βοηθεῖν; Αὐτῷ, φάναι, τῷ ὀνόματι· καὶ περιβάντα Νισαῖον ἵππον ἡγεῖσθαι. Ταύτην 389
ἰδὼν τὴν ὄψιν ἐπεῤῥώσθη· τάχει δὲ χρησάμενος καὶ διαδραμὼν τὰ μεταξὺ, καταλαμβάνει τὴν Βέροιαν, καὶ τὸ πλεῖστον αὐτόθι τῆς στρατιᾶς ἱδρύσας, τὰ λοιπὰ προσήγετο διὰ τῶν στρατηγῶν. Ὁ δὲ Δημήτριος, ἐπεὶ ταῦτα ἤκουσε, καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον ᾔσθετο τῶν Μακεδόνων, ἔδεισε ποῤῥωτέρω προαγαγεῖν, μὴ πλησίον γενόμενοι βασιλέως Μακεδόνος καὶ δόξαν ἔχοντος μεταβάλωνται πρὸς αὐτόν. Ὅθεν ἐπιστρέψας, ἐπὶ τὸν Πύῤῥον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν Μακεδόνων. Ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ τῶν ἐκ τῆς Βεροίας ἀφικνούμενοι τὸν Πύῤῥον ἐνεκωμίαζον, ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις καὶ λαμπρὸν ἄνδρα, πρᾴως δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. Ἦσαν δέ τινες, οὓς αὐτὸς ὁ Πύῤῥος ἐγκαθίει, προσποιουμένους εἶναι Μακεδόνας, καὶ λέγοντας, ὅτι νῦν καιρός ἐστι τῆς Δημητρίου βαρύτητος ἀπαλλαγῆναι, πρὸς ἄνδρα δημοτικὸν καὶ φιλοστρατιώτην μεταβαλλομένους, τὸν Πύῤῥον. Ἐκ τούτου τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατιᾶς, καὶ τὸν Πύῤῥον ἐζήτουν περισκοποῦντες· ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος· ἄχρις οὗ πάλιν, συμφρονήσας καὶ περιθέμενος, ἐγνώσθη τῷ τε λόφῳ διαπρέποντι καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε τοὺς Μακεδόνας σύνθημα προστρέχοντας αἰτεῖν, ἄλλους δὲ κλάδους δρυὸς ἀναστέφεσθαι, διὰ τὸ καὶ τοὺς περὶ ἐκεῖνον ἐστεφανωμένους εἰσορᾶν. Ἤδη δὲ καὶ πρὸς αὐτόν τινες ἐτόλμων λέγειν τὸν Δημήτριον, ὡς ὑπεκστὰς καὶ προέμενος τὰ πράγματα, καλῶς δόξει βεβουλεῦσθαι. Τούτοις τοῖς λόγοις ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρατοπέδου, καὶ φοβηθεὶς, κρύφα διεξέπεσε, καυσίᾳ τινὶ καὶ λιτῷ χλα-

μυδίῳ περιστείλας ἑαυτόν. Ἐπελθὼν δ' ὁ Πύῤῥος, ἀμαχεὶ παρέλαβε τὸ στρατόπεδον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδόνων.

XII. Ἐπιφανέντος δὲ Λυσιμάχου, καὶ κοινὸν ἔργον ἀμφοῖν ποιουμένου τὴν Δημητρίου κατάλυσιν, καὶ νέμεσθαι τὴν βασιλείαν ἀξιοῦντος, οὔπω πάνυ βεβαίως τοῖς Μακεδόσι πιστεύων ὁ Πύῤῥος, ἀλλ' ἀμφίβολος ὢν ἐν αὐτοῖς, ἐδέξατο τοῦ Λυσιμάχου τὴν πρόκλησιν, καὶ διενείμαντο τὴν χώραν καὶ τὰς πόλεις πρὸς ἀλλήλους. Τοῦτο δ' ὤνησε μὲν ἐν τῷ παρόντι, καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς, ὀλίγῳ δ' ὕστερον ἔγνωσαν οὐκ ἀπαλλαγὴν ἔχθρας, ἀλλ' ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν. Οἷς γὰρ οὐ πέλαγος, οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία πέρας ἐστὶ τῆς πλεονεξίας, οὐδ' οἱ διαιροῦντες Εὐρώπην καὶ Ἀσίαν τέρμονες ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἁπτόμενοι καὶ ψαύοντες ἀλλήλων, ἀτρεμοῖεν ἐν τοῖς παροῦσι, μὴ ἀδικοῦντες, οὐκ ἔστιν εἰπεῖν. Ἀλλὰ πολεμοῦσι μὲν ἀεί, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες· δυεῖν δ' ὀνομάτων, ὥσπερ νομισμάτων, πολέμου καὶ εἰρήνης, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ δίκαιον. Ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντές εἰσιν, ἢ τῆς ἀδικίας τὸ ἀργοῦν καὶ σχολάζον δικαιοσύνην καὶ φιλίαν προσαγορεύοντες. Ἐδήλωσε δὲ ὁ Πύῤῥος· ἐμποδὼν γὰρ αὐξομένῳ τῷ Δημητρίῳ πάλιν ἱστάμενος, καὶ κολούων τὴν δύναμιν, ὥσπερ ἐξ ἀῤῥωστίας μεγάλης ἀναλαμβάνουσαν, ἐβοήθει τοῖς Ἕλλησι, καὶ παρῆλθεν εἰς τὰς Ἀθήνας. Ἀναβὰς δ' εἰς τὴν ἀκρόπολιν, καὶ θύσας τῇ θεῷ, καὶ καταβὰς αὐθημερὸν, ἀγαπᾷν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίστιν· ἂν μέντοι σωφρονῶσι, μηδένα τῶν βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν, μηδὲ τὰς πύλας ἀνοίξειν. Ἐκ τούτου καὶ πρὸς τὸν Δημήτριον εἰρήνην ἐποιήσατο, καὶ μετ' ὀλίγον χρόνον, εἰς
390 Ἀσίαν ἀπάραντος αὐτοῦ, πάλιν πεισθεὶς ὑπὸ Λυσιμάχου, Θετταλίαν ἀφίστη, καὶ ταῖς Ἑλληνικαῖς φρουραῖς προσεπολέμει, βελτίοσι χρώμενος τοῖς Μακεδόσι στρατευομένοις, ἢ σχολάζουσι· καὶ ὅλως, αὐτὸς οὐκ εὖ πρὸς ἡσυχίαν πεφυκώς. Τέλος δὲ, Δημητρίου καταπολεμηθέντος ἐν Συρίᾳ, Λυσίμαχος ἐπ' ἀδείας γενόμενος καὶ σχολάζων, εὐθὺς ἐπὶ τὸν Πύῤῥον ὥρμησε. Καὶ καθημένου περὶ τὴν Ἔδεσσαν αὐτοῦ, ταῖς

ἀγοραῖς κομιζομέναις ἐπιπεσὼν καὶ κρατήσας, ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν· εἶτα γράμμασι καὶ λόγοις διέφθειρε τοὺς πρώτους τῶν Μακεδόνων, ὀνειδίζων, εἰ ξένον ἄνδρα, καὶ προγόνων ἀεὶ δεδουλευκότων Μακεδόσι, δεσπότην ἑλόμενοι, τοὺς Ἀλεξάνδρου φίλους καὶ συνήθεις ἀπωθοῦσι Μακεδονίας. Ἀναπειθομένων δὲ πολλῶν, δείσας ὁ Πύῤῥος ἀπηλλάγη μετὰ τῆς Ἠπειρωτικῆς καὶ συμμαχικῆς δυνάμεως, ἀποβαλὼν Μακεδονίαν ᾧ τρόπῳ παρέλαβεν. Ὅθεν οὐδ᾽ αἰτιᾶσθαι τοὺς πολλοὺς ἔχουσιν οἱ βασιλεῖς, μετατιθεμένους πρὸς τὸ συμφέρον. Ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες, ἀπιστίας καὶ προδοσίας διδασκάλους ὄντας, καὶ πλεῖστα νομίζοντας ὠφελεῖσθαι τὸν ἐλάχιστα τῷ δικαίῳ χρώμενον.

XIII. Τότε δ᾽ οὖν εἰς Ἤπειρον ἐκπεσόντι τῷ Πύῤῥῳ, καὶ προεμένῳ Μακεδονίαν, ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς παροῦσιν ἀπραγμόνως, καὶ ζῆν ἐν εἰρήνῃ βασιλεύοντα τῶν οἰκείων· ὁ δὲ τὸ μὴ παρέχειν ἑτέροις κακὰ, μηδ᾽ ἔχειν ὑφ᾽ ἑτέρων, ἄλυν τινὰ ναυτιώδη νομίζων, ὥσπερ ὁ Ἀχιλλεὺς, οὐκ ἔφερε τὴν σχολὴν,

Ἀλλὰ φθινύθεσκε φίλον κῆρ,
Αὖθι μένων, ποθέεσκε δ᾽ ἀϋτήν τε πτόλεμόν τε.

Δεόμενος δ᾽ οὖν ἔλαβε πραγμάτων καινῶν τοιαύτην ὑπόθεσιν. Ῥωμαῖοι Ταραντίνοις ἐπολέμουν. Οἱ δὲ μήτε φέρειν τὸν πόλεμον δυνάμενοι, μήτε θέσθαι, θρασύτητι καὶ μοχθηρίᾳ δημαγωγῶν, ἐβουλεύοντο ποιεῖσθαι Πύῤῥον ἡγεμόνα, καὶ καλεῖν ἐπὶ τὸν πόλεμον, ὡς σχολὴν ἄγοντα πλείστην τῶν βασιλέων, καὶ στρατηγὸν ὄντα δεινότατον. Τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν οἱ μὲν ἄντικρυς ἐνιστάμενοι πρὸς τὴν γνώμην, ἐξέπιπτον ὑπὸ κραυγῆς καὶ βίας τῶν πολεμοποιῶν. Οἱ δὲ, ταῦτα ὁρῶντες, ἀπέλειπον τὰς ἐκκλησίας. Εἷς δέ τις ἀνὴρ ἐπιεικὴς, Μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ τὸ δόγμα κυροῦν ἔμελλον, ἐνστάσης, καὶ τοῦ δήμου καθεζομένου, λαβὼν στέφανον τῶν ἑώλων, καὶ λαμπάδιον, ὥσπερ οἱ μεθύοντες, αὐλητρίδος ὑφηγουμένης αὐτῷ, πρὸς τὴν ἐκκλησίαν ἐκώμαζεν. Οἷα δ᾽ ἐν ὄχλῳ δημοκρατίας κόσμον οὐκ ἐχούσης, οἱ μὲν ἐκρότουν ἰδόντες, οἱ δ᾽ ἐγέλων, ἐκώλυε δ᾽ οὐδεὶς, ἀλλὰ καὶ τὸ γύναιον αὐλεῖν, κἀκεῖνον ᾄδειν ἐκέλευον εἰς μέσον προελθόντα· καὶ τοῦτο

ποιήσων ἐπίδοξος ἦν. Γενομένης δὲ σιωπῆς· Ἄνδρες, ἔφη, Ταραντῖνοι, καλῶς ποιεῖτε, παίζειν καὶ κωμάζειν, ἕως ἔξεστι, τοῖς βουλομένοις μὴ φθονοῦντες. Ἐὰν δὲ σωφρονῆτε, καὶ πάντες ἀπολαύσετε ἔτι τῆς ἐλευθερίας, ὡς ἕτερα πράγματα καὶ βίον καὶ δίαιταν ἕξοντες, ὅταν Πύῤῥος εἰς τὴν πόλιν παραγένηται. Ταῦτα ῥηθέντα τοὺς πολλοὺς ἔπεισε τῶν Ταραντίνων, καὶ θροῦς διέδραμε τῆς ἐκκλησίας, ὡς εὖ λεγομένων. Οἱ δὲ τοὺς Ῥωμαίους δεδιότες, μὴ γενομένης εἰρήνης ἐκδοθῶσι, τόν τε δῆμον ἐλοιδόρουν, εἰ φέρει πρᾴως ἐπικωμαζόμενος οὕτως ἀσελγῶς, καὶ παροινούμενος, τόν τε Μέτωνα συστραφέντες ἐξέβαλον. Οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου, πρέσβεις ἔπεμψαν εἰς Ἤπειρον, οὐχ αὐτῶν μόνων, ἀλλὰ καὶ τῶν Ἰταλιωτῶν, δῶρα τῷ Πύῤῥῳ κομίζον-
391 τας, καὶ λέγοντας, ὡς ἡγεμόνος ἔμφρονος δέονται καὶ δόξαν ἔχοντος· δυνάμεις δ' αὐτόθεν ὑπάρξουσι μεγάλαι παρά τε Λευκανῶν καὶ Μεσσαπίων, καὶ Σαυνιτῶν, καὶ Ταραντίνων εἰς δισμυρίους ἱππεῖς, πεζῶν δ' ὁμοῦ πέντε καὶ τριάκοντα μυριάδας. Ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν Πύῤῥον, ἀλλὰ καὶ τοῖς Ἠπειρώταις προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας.

XIV. Ἦν δέ τις Κινέας, Θεσσαλὸς ἀνήρ, τῷ μὲν φρονεῖν δοκῶν ἱκανὸς εἶναι, Δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς ἐδόκει μόνος μάλιστα τῶν τότε λεγόντων, οἷον ἐν εἰκόνι, τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν τοὺς ἀκούοντας. Συνὼν δὲ τῷ Πύῤῥῳ, καὶ πεμπόμενος ἐπὶ τὰς πόλεις, ἐβεβαίου τὸ Εὐριπίδειον, ὅτι πᾶν ἐξαιρεῖ λόγος,

Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

Ὁ γοῦν Πύῤῥος ἔλεγε, πλείονας πόλεις ὑπὸ Κινέου τοῖς λόγοις, ἢ τοῖς ὅπλοις ὑφ' ἑαυτοῦ προσῆχθαι· καὶ διετέλει τὸν ἄνδρα τιμῶν ἐν τοῖς μάλιστα καὶ χρώμενος. Οὗτος οὖν τὸν Πύῤῥον, ὡρμημένον τότε ὁρῶν ἐπὶ τὴν Ἰταλίαν, εἰς λόγους ἐπηγάγετο τοιούσδε, ἰδὼν σχολάζοντα· Πολεμισταὶ μέν, ὦ Πύῤῥε, Ῥωμαῖοι λέγονται, καὶ πολλῶν ἐθνῶν μαχίμων ἄρχοντες· εἰ δὲ δοίη θεὸς περιγενέσθαι τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ; Καὶ ὁ Πύῤῥος· Ἐρωτᾷς, εἶπεν, ὦ Κινέα, πρᾶγμα φαινόμενον· οὔτε βάρβαρος ἡμῖν ἐκεῖ πόλις, οὔτε Ἑλληνὶς ἀξιόμαχος, Ῥωμαίων κρατηθέντων· ἀλλ' ἕξο-

μεν εὐθὺς Ἰταλίαν ἅπασαν, ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ πού τινι μᾶλλον ἀγνοεῖν, ἢ σοὶ, προσήκει. Μικρὸν οὖν ἐπισχὼν ὁ Κινέας· Ἰταλίαν δ', εἶπεν, ὦ βασιλεῦ, λαβόντες, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος, οὔπω τὴν διάνοιαν αὐτοῦ καθορῶν· Ἐγγὺς, εἶπεν, ἡ Σικελία χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἁλῶναι δὲ ῥάστη. Στάσις γὰρ, ὦ Κινέα, πάντα νῦν ἐκεῖνα καὶ ἀναρχία πόλεων, καὶ δημαγωγῶν ὀξύτης, Ἀγαθοκλέους ἐκλελοιπότος. Εἰκότα, ἔφη, λέγεις, ὁ Κινέας· ἀλλ' ἦ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν Σικελίαν; Θεὸς, ἔφη ὁ Πύῤῥος, νικᾶν διδοίη καὶ κατορθοῦν· τούτοις δὲ προαγῶσι χρησόμεθα πραγμάτων μεγάλων. Τίς γὰρ ἂν ἀπόσχοιτο Λιβύης καὶ Καρχηδόνος ἐν ἐφικτῷ γενομένης, ἣν Ἀγαθοκλῆς ἀποδρὰς ἐκ Συρακουσῶν κρύφα, καὶ περάσας ναυσὶν ὀλίγαις, λαβεῖν παρ' οὐδὲν ἦλθεν; ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν οὐδεὶς ἀντιστήσεται τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις; Οὐδὲν, ὁ Κινέας εἶπεν· δῆλον γὰρ, ὅτι καὶ Μακεδονίαν ἀναλαβεῖν, καὶ τῆς Ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως ἀπὸ τηλικαύτης δυνάμεως. Γενομένων δὲ πάντων ὑφ' ἡμῖν, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος ἐπιγελάσας· Σχολὴν, ἔφη, ἄξομεν πολλὴν, καὶ κώθων, ὦ μακάριε, καθημερινὸς ἔσται, καὶ διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν. Ἐνταῦθα δὴ τοῦ λόγου καταστήσας τὸν Πύῤῥον ὁ Κινέας· Εἶτα, ἔφη, τί νῦν ἐμποδὼν ἐστιν ἡμῖν βουλομένοις, κώθωνι χρήσασθαι καὶ σχολάζειν μετ' ἀλλήλων, εἰ ταῦτ' ἔχομεν ἤδη, καὶ πάρεστιν ἀπραγμόνως, ἐφ' ἃ δι' αἵματος καὶ πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι, πολλὰ καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες; Τούτοις τοῖς λόγοις ἠνίασε μᾶλλον, ἢ μετέθηκε τὸν Πύῤῥον ὁ Κινέας, νοήσαντα μὲν ὅσην ἀπέλιπεν εὐδαιμονίαν, ὧν δ' ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον.

XV. Πρῶτον μὲν οὖν ἀπέστειλε τὸν Κινέαν τοῖς Τα-
ραντίνοις, στρατιώτας ἄγοντα τρισχιλίους· ἔπειτα πολλῶν
ἱππηγῶν καὶ καταφράκτων, καὶ πορθμείων παντοδαπῶν ἐκ
Τάραντος κομισθέντων, ἐνεβίβαζεν ἐλέφαντας εἴκοσι, καὶ τρισ-
χιλίους ἱππεῖς, πεζοὺς δὲ δισμυρίους, καὶ δισχιλίους τοξό- 392
τας, καὶ σφενδονήτας πεντακοσίους. Γενομένων δὲ πάντων
ἑτοίμων, ἀναχθεὶς ἔπλει· καὶ μέσον ἔχων τὸν Ἰόνιον, ἁρπά-
ζεται βορέᾳ ἀνέμῳ, παρ' ὥραν ἐκραγέντι. Καὶ βιασθεὶς,

αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ κυβερνητῶν ἐξανέφερε, καὶ προσανῆγε τῇ γῇ πολυπόνως καὶ παραβόλως. Τοῦ δ' ἄλλου στόλου συσχεθέντος, καὶ τῶν νεῶν σκεδασθεισῶν, αἱ μὲν ἀποσφαλεῖσαι τῆς Ἰταλίας ἐξεώσθησαν εἰς τὸ Λιβυκὸν καὶ Σικελικὸν πέλαγος· τὰς δ' ὑπερβαλεῖν μὴ δυνηθείσας ἄκραν Ἰαπυγίαν νύξ τε κατελάμβανε, καὶ πολλὴ καὶ χαλεπὴ θάλασσα παίουσα πρὸς χωρία δύσορμα καὶ τυφλὰ, πάσας διέφθειρε, πλὴν τῆς βασιλικῆς. Αὕτη δὲ, πλαγίου μὲν ἔτι ὄντος τοῦ κύματος, ἠμύνετο καὶ διέφυγε μεγέθει καὶ ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης· ἐπεὶ δὲ περιελθὸν ἀπὸ γῆς ἀπήντα τὸ πνεῦμα, καὶ κίνδυνον εἶχεν ἡ ναῦς ἀντίπρωρος ἱσταμένη πρὸς κλύδωνα πολὺν ἀναῤῥαγῆναι· τὸ δὲ ἐφέντας αὖθις ἠγριωμένῳ πελάγει καὶ πνεύματι, τροπὰς λαμβάνοντι παντοδαπὰς, φέρεσθαι φοβερώτατον ἐφαίνετο τῶν παρόντων κακῶν· ἄρας ὁ Πύῤῥος αὑτὸν ἀφῆκεν εἰς θάλασσαν, καὶ τῶν φίλων καὶ τῶν δορυφόρων εὐθὺς ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. Ἡ δὲ νὺξ καὶ τὸ κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς χαλεπὴν ἐποίει τὴν βοήθειαν· ὥστε μόλις τῆς ἡμέρας ἤδη μαραινομένου τοῦ πνεύματος ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν, τῷ μὲν σώματι παντάπασιν ἀδυνάτως ἔχοντα, τόλμῃ δὲ καὶ ῥώμῃ τῆς ψυχῆς ἀνταίροντα πρὸς τὴν ἀπορίαν. Ἅμα δὲ οἵ τε Μεσσάπιοι, καθ' οὓς ἐξεβράσθη, συνέθεον βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως, καὶ προσεφέροντο τῶν σωζομένων ἐνίαις νεῶν· ἐν αἷς ἦσαν ἱππεῖς μὲν ὀλίγοι παντάπασι, πεζοὶ δὲ δισχιλίων ἐλάττους, ἐλέφαντες δὲ δύο.

XVI. Τούτους ἀναλαβὼν ὁ Πύῤῥος ἐβάδιζεν εἰς Τάραντα. Καὶ τοῦ Κινέου προαγαγόντος εἰς συνάντησιν, ὡς ᾔσθετο, τοὺς στρατιώτας, παρελθὼν, οὐδὲν ἀκόντων, οὐδὲ πρὸς βίαν ἔπραττε τῶν Ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς θαλάττης, καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. Τηνικαῦτα δὲ ὁρῶν τὸ πλῆθος ἄνευ μεγάλης ἀνάγκης μήτε σώζεσθαι δυνάμενον, μήτε σώζειν, ἀλλ' οἷον, ἐκείνου προπολεμοῦντος, οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γενόμενον, ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν, πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν· ἐκάλει δὲ πρὸς τὰ ὅπλα, καὶ περὶ τοὺς καταλόγους τῶν στρατευο-

μένων ἀπαραίτητος ἦν καὶ λυπηρός· ὥστε πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν, ἀηθείᾳ τοῦ ἄρχεσθαι, δουλείαν τὸ μὴ πρὸς ἡδονὴν ζῆν καλοῦντας. Ἐπεὶ δὲ Λαιβῖνος, ὁ τῶν Ῥωμαίων ὕπατος, ἠγγέλλετο πολλῇ στρατιᾷ χωρεῖν ἐπ' αὐτὸν, ἅμα τὴν Λευκανίαν διαπορθῶν, οὐδέπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ· δεινὸν δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιϊδεῖν τοὺς πολεμίους ἐγγυτέρω προσιόντας, ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας κήρυκα πρὸς τοὺς Ῥωμαίους, εἰ φίλον ἐστὶν αὐτοῖς πρὸ πολέμου δίκας λαβεῖν παρὰ τῶν Ἰταλιωτῶν, αὐτῷ δικαστῇ καὶ διαλλακτῇ χρησαμένους. Ἀποκριναμένου δὲ τοῦ Λαιβίνου, μήτε διαλλακτὴν Πύῤῥον αἱρεῖσθαι Ῥωμαίους, μήτε δεδοικέναι πολέμιον, προελθὼν κατεστρατοπέδευσεν ἐν τῷ μεταξὺ πεδίῳ Πανδοσίας πόλεως καὶ Ἡρακλείας. Πυθόμενος δὲ, τοὺς Ῥωμαίους ἐγγὺς εἶναι, καὶ πέραν τοῦ Σίριος ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ θέας ἕνεκα· καὶ κατιδὼν τάξιν τε καὶ φυλακὰς καὶ κόσμον αὐτῶν, καὶ τὸ σχῆμα τῆς στρατοπεδείας, ἐθαύμασε, καὶ τῶν φίλων 393
προσαγορεύσας τὸν ἐγγυτάτω· Τάξις μὲν, εἶπεν, ὦ Μεγάκλεις, αὕτη τῶν βαρβάρων οὐ βάρβαρος, τὸ δ' ἔργον εἰσόμεθα. Καὶ διὰ φροντίδος ἔχων ἤδη τὸ μέλλον, ἔγνω τοὺς συμμάχους ἀναμένειν. Τοῖς δὲ Ῥωμαίοις, ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. Οἱ δ', ἅπερ ἐκεῖνος ἔγνω περιμένειν, φθῆναι σπεύδοντες, ἐνεχείρουν τῇ διαβάσει, κατὰ πόρον μὲν οἱ πεζοὶ, πολλαχόθεν δὲ οἱ ἱππεῖς διεξελαύνοντες τὸν ποταμόν· ὥστε δείσαντας τὴν κύκλωσιν ἀναχωρεῖν τοὺς Ἕλληνας, αἰσθόμενον δὲ τὸν Πύῤῥον καὶ διαταραχθέντα, τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ παρεγγυᾷν εὐθὺς εἰς τάξιν καθίστασθαι, καὶ περιμένειν ἐν τοῖς ὅπλοις· αὐτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους ἀτάκτους λήψεσθαι τοὺς Ῥωμαίους. Ἐπεὶ δ' ἑώρα θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ, καὶ τοὺς ἱππεῖς ἐπελαύνοντας ἐν τάξει, συστρέψας ἐνέβαλε πρῶτος, αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι κεκοσμημένων περιττῶς, καὶ τὴν δόξαν ἐπιδεικνύμενος ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς· μάλιστα δὲ, ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι, καὶ τοὺς καθ' αὑτὸν ἀμυνόμενος ἐῤῥωμένως, οὐ συνεχεῖτο τὸν λογισμὸν,

οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν, ἀλλ' ὥσπερ ἔξωθεν ἐφορῶν, διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων ἑκασταχόσε, καὶ παραβοηθῶν τοῖς ἐκβιάζεσθαι δοκοῦσιν. Ἔνθα δὴ Λεοννάτος ὁ Μακεδὼν, ἄνδρα κατιδὼν Ἰταλὸν ἐπέχοντα τῷ Πύῤῥῳ, καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα, καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον· Ὁρᾷς, εἶπεν, ὦ βασιλεῦ, τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας ἵππος ὁ λευκόπους φέρει; μέγα τι βουλευομένῳ καὶ δεινὸν ὅμοιός ἐστι. Σοὶ γὰρ ἐνορᾷ, καὶ πρὸς σὲ τέταται, πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δ' ἄλλους ἐᾷ χαίρειν. Ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα. Καὶ ὁ Πύῤῥος ἀπεκρίνατο· Τὸ μὲν εἱμαρμένον, ὦ Λεοννάτε, διαφυγεῖν ἀδύνατον· χαίρων δὲ οὔτε οὗτος, οὔτ' ἄλλος τις Ἰταλῶν εἰς χεῖρας ἡμῖν σύνεισιν. Ἔτι ταῦτα προσδιαλεγομένων, ὁ Ἰταλὸς διαλαβὼν τὸ δόρυ, καὶ συστρέψας τὸν ἵππον, ὥρμησεν ἐπὶ τὸν Πύῤῥον. Εἶτα ἅμα παίει μὲν αὐτὸς τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον, παίει δὲ τὸν ἐκείνου παραλαβὼν ὁ Λεοννάτος. Ἀμφοτέρων δὲ τῶν ἵππων πεσόντων, τὸν μὲν Πύῤῥον οἱ φίλοι περισχόντες ἀνήρπασαν, τὸν δ' Ἰταλὸν μαχόμενον διέφθειραν. Ἦν δὲ τῷ γένει Φρεντανὸς, ἴλης ἡγεμὼν, Οπλακος ὄνομα.

XVII. Τοῦτο δ' ἐδίδαξε τὸν Πύῤῥον μᾶλλον φυλάττεσθαι· καὶ τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας, μετεπέμπετο τὴν φάλαγγα καὶ παρέταττεν. Αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα παραδοὺς ἑνὶ τῶν ἑταίρων, Μεγακλεῖ, τοῖς δ' ἐκείνου τρόπον τινὰ κατακρύψας ἑαυτὸν, ἐπῆγε τοῖς Ῥωμαίοις. Δεξαμένων δ' ἐκείνων καὶ συμβαλόντων, χρόνον τε πολὺν ἑστήκει τὰ τῆς μάχης ἄκριτα, καὶ τροπὰς ἑπτὰ λέγεται φευγόντων ἀνάπαλιν καὶ διωκόντων γενέσθαι. Καὶ γὰρ ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ γεγονυῖα τοῦ βασιλέως, ὀλίγου ἐδέησεν ἀνατρέψαι τὰ πράγματα, καὶ διαφθεῖραι τὴν νίκην. Πολλῶν γὰρ ἐφιεμένων τοῦ Μεγακλέους, ὁ πρῶτος πατάξας καὶ καταβαλὼν αὐτὸν, ὄνομα Δέξιος, ἀφαρπάσας τὸ κράνος καὶ τὴν χλαμύδα, τῷ Λαιβίνῳ προσίππευσεν, ἀναδεικνύων ἅμα καὶ βοῶν ἀνῃρηκέναι τὸν Πύῤῥον. Ἦν οὖν παρὰ τὰς τάξεις τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων, τοῖς τε Ῥωμαίοις χαρὰ μετ' ἀλαλαγμοῦ, καὶ τοῖς Ἕλλησιν ἀθυμία καὶ κατάπληξις· ἄχρις οὗ μαθὼν ὁ Πύῤῥος τὸ γιγνόμενον παρήλαυνε γυμνῷ τῷ προσ-

ὤπῳ, τήν τε δεξιὰν ὀρέγων τοῖς μαχομένοις, καὶ τῇ φωνῇ 394
σημαίνων ἑαυτόν. Τέλος δὲ, τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς Ῥωμαίους, καὶ τῶν ἵππων, πρὶν ἐγγὺς γενέσθαι, δυσανασχετούντων καὶ παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν Θεσσαλικὴν ἵππον αὐτοῖς ταρασσομένοις, ἐτρέψατο πολλῷ φόνῳ. Διονύσιος μὲν οὖν ὀλίγῳ τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας πεσεῖν ἱστορεῖ Ῥωμαίων, Ἱερώνυμος δὲ, μόνους ἑπτακισχιλίους· τῶν δὲ περὶ Πύῤῥον, ὁ μὲν Διονύσιος, μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος, ἐλάττονας τῶν τετρακισχιλίων. Κράτιστοι δ' ἦσαν οὗτοι, καὶ τῶν φίλων ὁ Πύῤῥος καὶ τῶν στρατηγῶν, οἷς μάλιστα χρώμενος διετέλει καὶ πιστεύων, ἀπέβαλεν. Οὐ μὴν ἀλλὰ καὶ τὸ στρατόπεδον ἔλαβε, τῶν Ῥωμαίων ἐκλιπόντων, καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο, καὶ χώραν πολλὴν διεπόρθησε, καὶ προῆλθεν, ὅσον μὴ πλέον σταδίων τριακοσίων ἀποσχεῖν τῆς Ῥώμης. Ἀφίκοντο δ' αὐτῷ Λευκανῶν τε πολλοὶ καὶ Σαυνιτῶν μετὰ τὴν μάχην· οὓς ἐμέμψατο μὲν ὑστερήσαντας, ἦν δὲ δῆλος ἡδόμενος καὶ μέγα φρονῶν, ὅτι μόνοις τοῖς μετ' αὐτοῦ καὶ Ταραντίνοις ἐκράτησε τῆς μεγάλης Ῥωμαίων δυνάμεως.

XVIII. Ῥωμαῖοι δὲ Λαιβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς· καίτοι λέγεται, Γάϊον Φαβρίκιον εἰπεῖν, ὡς οὐκ Ἠπειρῶται Ῥωμαίους, ἀλλὰ Πύῤῥος νενικήκει Λαιβῖνον· οἰόμενον, οὐ τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας, γεγονέναι τὴν ἧτταν. Ἀναπληροῦντες δὲ τὰς τάξεις, καὶ συντάττοντες ἑτέρας προθύμως, καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ πολέμου λέγοντες, ἔκπληξιν τῷ Πύῤῥῳ παρεῖχον. Ἔδοξεν οὖν αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν, εἰ συμβατικῶς ἔχοιεν· ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν πόλιν καὶ κρατῆσαι παντάπασιν, οὐ μικρὸν ἔργον, οὐδὲ τῆς παρούσης δυνάμεως εἶναι, τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις κάλλιστα ἔχειν πρὸς δόξαν αὐτῷ μετὰ νίκην. Πεμφθεὶς οὖν ὁ Κινέας ἐνετύγχανε τοῖς δυνατοῖς, καὶ δῶρα παισὶν αὐτῶν καὶ γυναιξὶν ἔπεμψε παρὰ τοῦ βασιλέως. Ἔλαβε δ' οὐδεὶς, ἀλλ' ἀπεκρίναντο πάντες καὶ πᾶσαι, ὅτι, δημοσίᾳ σπονδῶν γενομένων, καὶ τὰ παρ' αὐτῶν ὑπάρξει πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. Πρὸς δὲ τὴν σύγκλητον ἐπαγωγὰ τοῦ Κινέου πολλὰ καὶ φιλάνθρωπα διαλεχθέντος, ἄσμενοι μὲν οὐδὲν οὐδ'

ἑτοίμως ἐδέχοντο, καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων ἀφιέντος αὐτοῖς τοῦ Πύῤῥου, καὶ συγκατεργάσασθαι τὴν Ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δ᾽ ἀντὶ τούτων ἑαυτῷ, καὶ τοῖς Ταραντίνοις ἄδειαν, ἕτερον δὲ μηδὲν αἰτουμένου· δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν εἰρήνην, ἡττημένοι τε μεγάλην μάχην, καὶ προσδοκῶντες ἑτέραν ἀπὸ μείζονος δυνάμεως, τῶν Ἰταλικῶν τῷ Πύῤῥῳ προσγεγονότων. Ἔνθα δὴ Κλαύδιος Ἄππιος, ἀνὴρ ἐπιφανὴς, ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώσεως ὀμμάτων ἀπειρηκὼς πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος, ἀπαγγελλομένων τότε τῶν παρὰ τοῦ βασιλέως, καὶ λόγου κατασχόντος, ὡς μέλλει ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρτέρησεν, ἀλλὰ τοὺς θεράποντας ἄρασθαι κελεύσας αὑτὸν, ἐκομίζετο πρὸς τὸ βουλευτήριον ἐν φορείῳ δι᾽ ἀγορᾶς. Γενόμενον δὲ πρὸς ταῖς θύραις οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς ὑπολαβόντες καὶ περισχόντες εἰσῆγον· ἡ δὲ βουλὴ σιωπὴν, αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς, ἔσχεν.

XIX. Ὁ δ᾽ αὐτόθεν καταστὰς, „Πρότερον μὲν (ἔφη) τὴν περὶ τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον, ὦ Ῥωμαῖοι· νῦν δ᾽ ἄχθομαι, πρὸς τῷ τυφλὸς εἶναι, μὴ καὶ κωφὸς ὢν, ἀλλ᾽ ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν, ἀνατρέποντα τῆς Ῥώμης τὸ κλέος. Ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας ἀνθρώπους θρυλλούμενος ἀεὶ λόγος, ὡς, εἰ παρῆν ἐκεῖνος εἰς Ἰταλίαν ὁ μέγας Ἀλέξανδρος, καὶ συνηνέχθη νέοις ἡμῖν καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζουσιν, οὐκ ἂν ὑμνεῖτο νῦν ἀνίκητος, ἀλλ᾽ ἢ φυγὼν ἂν, ἢ που πεσὼν ἐνταῦθα, τὴν Ῥώμην ἐνδοξοτέραν ἀπέλιπε; Ταῦτα μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε, Χάονας καὶ Μολοσσοὺς, τὴν ἀεὶ Μακεδόνων λείαν, δεδιότες, καὶ τρέμοντες Πύῤῥον, ὃς τῶν Ἀλεξάνδρου δορυφόρων ἕνα γοῦν ἀεὶ περιέπων καὶ θεραπεύων διατετέλεκε. Καὶ νῦν οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον Ἕλλησιν, ἢ φεύγων τοὺς ἐκεῖ πολεμίους, πλανᾶται περὶ τὴν Ἰταλίαν, ἐπαγγελλόμενος ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυνάμεως, ᾗ μέρος μικρὸν αὐτῷ Μακεδονίας οὐκ ἤρκεσε διαφυλάξαι. Μὴ τοῦτον οὖν ἀπαλλάξειν νομίζετε, ποιησάμενοι φίλον, ἀλλ᾽ ἐκείνους ἐπάξεσθαι, καταφρονήσαντας ὑμῶν, ὡς πᾶσιν εὐκατεργάστων, εἰ Πύῤῥος ἄπεισι, μὴ δοὺς δίκην ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν τοῦ ἐπεγγελάσαι Ῥω-

μαίους, Ταραντίνους καὶ Σαυνίτας.“ Τοιαῦτα τοῦ Ἀππίου διαλεχθέντος, ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐτοῖς, καὶ τὸν Κινέαν ἀποπέμπουσιν, ἀποκρινάμενοι· Πύῤῥον, ἐξελθόντα τῆς Ἰταλίας, οὕτως, εἰ δέοιτο, περὶ φιλίας καὶ συμμαχίας διαλέγεσθαι· μέχρι δ' οὗ πάρεστιν ἐν ὅπλοις, πολεμήσειν αὐτῷ Ῥωμαίους κατὰ κράτος, κἂν μυρίους ἔτι Λαιβίνους τρέψηται μαχόμενος. Λέγεται δὲ, Κινέαν, ἐν ᾧ ταῦτ' ἔπραττεν, ἅμα ποιησάμενον ἔργον καὶ σπουδάσαντα, τῶν τε βίων γενέσθαι θεατὴν, καὶ τῆς πολιτείας τὴν ἀρετὴν κατανοῆσαι, καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις, τά τ' ἄλλα τῷ Πύῤῥῳ φράσαι, καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη· περὶ δὲ τοῦ πλήθους δεδιέναι, μὴ πρός τινα φανῶσι Λερναίαν ὕδραν μαχόμενοι. Διπλασίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν παρατεταγμένων πρότερον ἠθροῖσθαι, καὶ πολλάκις εἶναι τοσούτους ἔτι τῶν Ῥωμαίων ὅπλα φέρειν δυναμένους.

XX. Ἐκ τούτου πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων οἱ περὶ Γάϊον Φαβρίκιον, οὗ πλεῖστον ἔφη Ῥωμαίους λόγον ἔχειν ὁ Κινέας, ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος δὲ ἰσχυρῶς. Τοῦτον οὖν ὁ Πύῤῥος ἰδίᾳ φιλοφρονούμενος ἔπειθε λαβεῖν χρυσίον, ἐπ' οὐδενὶ δῆθεν αἰσχρῷ, φιλίας δέ τι τοῦτο καὶ ξενίας ἐπονομάζων σύμβολον. Ἀπωσαμένου δὲ τοῦ Φαβρικίου, τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ βουλόμενος αὐτὸν ἐκπλῆξαι, μήπω θεατὴν ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξόπισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις, αὐλαίαν παρατείναντας. Ἐγένετο δὴ ταῦτα, καὶ σημείου δοθέντος, ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε προνομαίαν ἀράμενον, ὑπερέσχε τῆς κεφαλῆς τοῦ Φαβρικίου, καὶ φωνὴν ἀφῆκε φοβερὰν καὶ τραχεῖαν. Ὁ δ', ἠρέμα μεταστραφεὶς, καὶ διαμειδιάσας, πρὸς τὸν Πύῤῥον εἶπεν· „Οὔτε χθές με τὸ χρυσίον ἐκίνησεν, οὔτε σήμερον τὸ θηρίον.“ Ἐν δὲ τῷ δείπνῳ λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ περὶ τῆς Ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως ὁ Κινέας ἐπιμνησθεὶς τοῦ Ἐπικούρου, καὶ διῆλθεν, ἃ λέγουσι περὶ θεῶν, καὶ πολιτείας, καὶ τέλους, τὸ μὲν ἐν ἡδονῇ τιθέμενοι, πολιτείαν δὲ φεύγοντες, ὡς βλάβην καὶ σύγχυσιν τοῦ μακαρίου, τὸ δὲ θεῖον ἀπωτάτω χάριτος καὶ ὀργῆς, καὶ τοῦ μέλειν

ἡμῶν, εἰς ἀπράγμονα βίον καὶ μεστὸν εὐπαθειῶν ἀποικίζοντες. Ἔτι δ' αὐτοῦ λέγοντος, ἀνακραγὼν ὁ Φαβρίκιος· Ὦ Ἡράκλεις, εἶπε, Πύῤῥῳ τὰ δόγματα μέλοι ταῦτα καὶ Σαυνίταις, ἕως πολεμοῦσι πρὸς ἡμᾶς. Οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ ἦθος ὁ Πύῤῥος, ἔτι μᾶλλον
396 ὠρέγετο φιλίαν ἀντὶ πολέμου πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι· κἀκεῖνον ἰδίᾳ παρεκάλει, ποιησάμενον τὰς διαλύσεις ἕπεσθαι καὶ συζῆν μετ' αὐτοῦ, πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν. Ὁ δ' ἡσυχῇ λέγεται πρὸς αὐτὸν εἰπεῖν· „Ἀλλ' οὔ σοι τοῦτο, βασιλεῦ, λυσιτελές ἐστιν. Αὐτοὶ γὰρ οἱ νῦν σε τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ' ἐμοῦ μᾶλλον ἐθελήσουσιν, ἢ σοῦ, βασιλεύεσθαι.“ Τοιοῦτος μὲν ὁ Φαβρίκιος. Ὁ δὲ Πύῤῥος οὐ πρὸς ὀργὴν, οὐδὲ τυραννικῶς ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγειλε τοῦ Φαβρικίου τὴν μεγαλοφροσύνην, καὶ τοὺς αἰχμαλώτους ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως, εἰ μὴ ψηφίσαιτο τὴν εἰρήνην ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας, καὶ τὰ Κρόνια διεορτάσαντες ἀποπεμφθεῖεν πάλιν πρὸς αὐτόν. Καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτὴν, τῷ ὑπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης.

XXI. Μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος, ἧκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν, ἐπιστολὴν κομίζων, ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς, ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν Πύῤῥον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογηθείη, λύσαντι τὸν πόλεμον ἀκινδύνως. Ὁ δὲ Φαβρίκιος, δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου, καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν Πύῤῥον κατὰ τάχος, φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. Εἶχε δ' οὕτως τὰ γεγραμμένα. „Γάϊος Φαβρίκιος καὶ Κόϊντος Αἰμύλιος, ὕπατοι Ῥωμαίων, Πύῤῥῳ βασιλεῖ χαίρειν. Οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτὴς, οὔτε πολεμίων. Γνώσῃ δὲ, τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνοὺς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. Οὐδὲ γὰρ ταῦτα σῇ χάριτι μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ, καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ δυνάμενοι, κατεργάσασθαι τὸν πόλεμον.“ Ἐντυχὼν τούτοις τοῖς γράμμασιν ὁ Πύῤῥος, καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας, τὸν μὲν ἰατρὸν ἐκόλασε, Φαβρικίῳ δὲ

καὶ Ῥωμαίοις ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους·
καὶ πάλιν ἔπεμψε τὸν Κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρή-
νην. Οἱ δὲ Ῥωμαῖοι, μήτ' εἰ χάρις ἐστὶ παρὰ πολεμίου,
μήτ' εἰ μισθὸς τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄν-
δρας ἀξιώσαντες, ἴσους ἀπέλυσαν αὐτῷ Ταραντίνων καὶ Σαυ-
νιτῶν. Περὶ δὲ φιλίας καὶ εἰρήνης οὐδὲν εἴων διαλέγεσθαι,
πρὶν ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν, ἐξ Ἰταλίας, αἷς
ἦλθε ναυσὶν, ἀποπλεύσῃ πάλιν εἰς Ἤπειρον. Ἐκ τούτου,
μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων, ἀναλαβὼν τὴν
στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πόλιν τοῖς Ῥωμαίοις συν-
άψας, καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν
ὑλώδη καὶ τραχὺν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων, ὥστε
προσμῖξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γενομένων καὶ
νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισά-
μενος. Τῇ δ' ὑστεραίᾳ στρατηγῶν διʼ ὁμαλοῦ τὴν μάχην
θέσθαι, καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πο-
λεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῇ, καὶ πολλὰ κατα-
μίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις, ἐπῆγε μετὰ
ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. Οἱ
δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρό-
τερον οὐκ ἔχοντες, ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα·
καὶ σπεύδοντες ὤσασθαι τοὺς ὁπλίτας, πρὶν ἐπιβῆναι τὰ θη-
ρία, δεινοὺς περὶ τὰς σαρίσσας τῶν ξιφῶν ἀγῶνας εἶχον,
ἀφειδοῦντες ἑαυτῶν, καὶ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες,
τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι. Χρόνῳ δὲ πολλῷ λέγεται
μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν γενέσθαι τὸν Πύῤῥον, ἐπερεί-
σαντα τοῖς ἀντιτεταγμένοις. Τὸ δὲ πλεῖστον ἀλκῇ καὶ βίᾳ 397
τῶν ἐλεφάντων κατειργάσατο, χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν
μάχην τῶν Ῥωμαίων μὴ δυναμένων, ἀλλ' οἷον ἐφόδῳ κύμα-
τος, ἢ σεισμοῦ κατερείποντος, οἰομένων δεῖν ἐξίστασθαι,
μηδ' ὑπομένειν ἀπράκτους ἀποθνήσκειν, ἐν τῷ μηδὲν ὠφε-
λεῖν, πάντα πάσχοντας τὰ χαλεπώτατα. Τῆς δὲ φυγῆς οὐ
μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης, ἑξακισχιλίους ἀποθα-
νεῖν φησι τῶν Ῥωμαίων Ἱερώνυμος· τῶν δὲ περὶ Πύῤῥον ἐν
τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀνενεχθῆναι τρισχιλίους πεντα-
κοσίους καὶ πέντε τεθνηκότας. Ὁ μέντοι Διονύσιος οὔτε
δύο περὶ Ἄσκλον μάχας, οὔτε ὁμολογουμένην ἧτταν ἱστορεῖ
γενέσθαι Ῥωμαίων· ἅπαξ δὲ μέχρι δυσμῶν ἡλίου μαχεσαμέ-

νους μόλις ἀπαλλαγῆναι, τοῦ Πύῤῥου τρωθέντος ὑσσῷ τὸν βραχίονα, καὶ τὴν ἀποσκευὴν ἅμα Σαυνιτῶν διαρπασάντων· ἀποθανεῖν δὲ καὶ Πύῤῥου καὶ Ῥωμαίων ἄνδρας ὑπὲρ μυρίους πεντακισχιλίους ἑκατέρων. Διελύθησαν δ' ἀμφότεροι, καὶ λέγεται, τὸν Πύῤῥον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ· „Ἂν ἔτι μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολούμεθα παντελῶς." Πολὺ μὲν γὰρ ἀπολώλει μέρος, ἧς ἄγων ἧκε δυνάμεως, φίλοι δὲ καὶ στρατηγοί, πλὴν ὀλίγων, ἅπαντες. Μεταπέμπεσθαι δ' οὐκ ἦσαν ἕτεροι, καὶ τοὺς αὐτόθι συμμάχους ἀμβλυτέρους ἑώρα· τοῖς δὲ Ῥωμαίοις, ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιῤῥεούσης, ἀναπληρούμενον εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον, καὶ ταῖς ἥτταις οὐκ ἀποβαλόντας τὸ θαῤῥεῖν, ἀλλὰ ῥώμην καὶ φιλοτιμίαν ὑπ' ὀργῆς ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας.

XXII. Ἐν τοιαύταις δ' ὢν ἀπορίαις, εἰς ἐλπίδας αὖ πάλιν κενὰς ἐνέπεσε, καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης. Ἅμα γὰρ ἧκον ἐκ μὲν Σικελίας ἄνδρες, Ἀκράγαντα καὶ Συρακούσας καὶ Λεοντίνους ἐγχειρίζοντες αὐτῷ, καὶ δεόμενοι Καρχηδονίους τε συνεκβαλεῖν, καὶ τῶν τυράννων ἀπαλλάξαι τὴν νῆσον· ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες, ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπόλωλε συμπεσὼν Γαλάταις μετὰ τῆς δυνάμεως, καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα δεομένοις βασιλέως, Μακεδόσι παραγένοιτο. Πολλὰ δὴ τὴν τύχην μεμψάμενος, ὅτι πράξεων μεγάλων ὑποθέσεις εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε, καὶ νομίζων, ὡς ἀμφοτέρων ὑπαρχόντων, ἀπολλύναι θατέραν, διηνέχθη τοῖς λογισμοῖς πολὺν χρόνον. Εἶτα, τοῖς Σικελικοῖς μειζόνων ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι δοκούσης, ἐπὶ ταῦτα τρέψας, Κινέαν μὲν εὐθὺς ἐξέπεμψε προδιαλεξόμενον, ὥσπερ εἰώθει, ταῖς πόλεσιν· αὐτὸς δὲ τοῖς Ταραντίνοις δυσανασχετοῦσιν ἐμβαλὼν φρουρὰν, καὶ ἀξιοῦσιν, ἢ παρέχειν ἐφ' οἷς ἧκε, συμπολεμοῦντα Ῥωμαίοις, ἢ τὴν χώραν προέμενον αὐτῶν ἀπολιπεῖν τὴν πόλιν, οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκρινάμενος, ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν, καὶ περιμένειν τὸν ἑαυτοῦ καιρὸν, ἐξέπλευσεν. Ἀψαμένῳ δ' αὐτῷ Σικελίας, ἃ μὲν ἤλπισεν, εὐθὺς ἀπήντα βέβαια, καὶ παρεῖχον αἱ πόλεις ἑαυτὰς προθύμως. Τῶν δ' ἀγῶνος καὶ βίας δεηθέντων οὐδὲν ἀντεῖχε τὸ πρῶτον, ἀλλὰ τρισμυρίοις πεζοῖς, καὶ δισχιλίοις

πεντα-

πεντακοσίοις ἱππεῦσι, καὶ διακοσίαις ναυσὶν ἐπιὼν, τούς τε
Φοίνικας ἐξῄρει, καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν.
Τοῦ δ' Ἔρυκος ὀχυρωτάτου τῶν χωρίων ὄντος, καὶ πολλοὺς
ἀμυνομένους ἔχοντος, ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. Καὶ
τῆς στρατιᾶς γενομένης ἑτοίμης, ἐνεδύσατο τὴν πανοπλίαν,
καὶ προσελθὼν ηὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα καὶ θυ-
σίαν ἀριστεῖον, ἂν τοῦ γένους καὶ τῶν ὑπαρχόντων ἄξιον 398
ἀγωνιστὴν αὐτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν Ἕλλησι.
Τῇ δὲ σάλπιγγι σημήνας, καὶ τοῖς βέλεσι τοὺς βαρβάρους
ἀνασκεδάσας, καὶ τὰς κλίμακας προσαγαγὼν, πρῶτος ἐπέβη
τοῦ τείχους. Ἀντιστάντων δὲ πολλῶν, ἀμυνόμενος, τοὺς
μὲν ἐξέωσε τοῦ τείχους ἐπ' ἀμφότερα, καὶ κατέβαλε, πλεί-
στους δὲ περὶ αὐτὸν, τῷ ξίφει χρώμενος, ἐσώρευσε νεκρούς.
Ἔπαθε δ' αὐτὸς οὐδὲν, ἀλλὰ καὶ προσιδεῖν δεινὸς ἐφάνη
τοῖς πολεμίοις, καὶ τὸν Ὅμηρον ἔδειξεν ὀρθῶς καὶ μετ' ἐμ-
πειρίας ἀποφαίνοντα, τῶν ἀρετῶν μόνην τὴν ἀνδρείαν φο-
ρὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς φερομένην. Ἁλού-
σης δὲ τῆς πόλεως, ἔθυσέ τε τῷ θεῷ μεγαλοπρεπῶς, καὶ
θέας ἀγώνων παντοδαπῶν παρέσχε.

XXIII. Τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτί-
νων δὲ καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων, ἐνίους
δὲ καὶ φόροις πεποιημένων ὑποτελεῖς, πολλῶν δὲ καὶ μαχί-
μων ὄντων, (δι' ὃ καὶ προσηγορεύθησαν Ἀρήϊοι γλώσσῃ τῇ
Λατίνων,) τοὺς μὲν φορολόγους συλλαβὼν ἀπέκτεινεν, αὐ-
τοὺς δὲ νικήσας μάχῃ, πολλὰ τῶν φρουρίων ἐξέκοψε. Καρ-
χηδονίοις δὲ συμβατικῶς ἔχουσι, καὶ χρήματα βουλομένοις
τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν, ἀπεκρίνατο
πλειόνων ἐφιέμενος, μίαν εἶναι διάλυσιν καὶ φιλίαν πρὸς
αὐτοὺς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν, ὅρῳ χρῷντο τῇ Λι-
βυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας. Εὐτυχίᾳ δὲ καὶ ῥώμῃ
τῶν παρόντων ἐπαιρόμενος, καὶ διώκων τὰς ἐλπίδας, ἐφ'
αἷς ἀπ' ἀρχῆς ἔπλευσε, πρώτης δὲ Λιβύης ἐφιέμενος, καὶ
ναῦς ἔχων πολλὰς πληρωμάτων ἐπιδεεῖς, ἤγειρεν ἐρέτας, οὐκ
ἐπιεικῶς ἐντυγχάνων, οὐδὲ πρᾴως ταῖς πόλεσιν, ἀλλὰ δεσπο-
τικῶς καὶ πρὸς ὀργὴν βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς
ὢν, οὐδ' ἐν ἀρχῇ τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων, τῷ
πρὸς χάριν ὁμιλεῖν, καὶ πάντα πιστεύειν, καὶ μηδὲν ἐνο-
χλεῖν, ὑπαγόμενος· εἶτα γενόμενος ἐκ δημαγωγοῦ τύραννος,

ἀχαριστίας τῇ χαλεπότητι καὶ ἀπιστίας προσωφλήκει δόξαν. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν, ὡς ἀναγκαῖα, συνεχώρουν, καίπερ δυσφοροῦντες. Ἐπεὶ δὲ Θοίνωνα καὶ Σώστρατον, ἄνδρας ἡγεμονικοὺς ἐν Συρακούσαις, οἳ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν, καὶ τὰ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτε ἄγειν σὺν αὑτῷ, μήτ' ἀπολιπεῖν βουλόμενος, ἐν ὑποψίαις εἶχε, καὶ Σώστρατος μὲν ἀπέστη φοβηθεὶς, Θοίνωνα δὲ τὰ αὐτὰ φρονεῖν αἰτιασάμενος ἀπέκτεινεν· οὐ κατὰ μικρὸν, οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων, ἀλλὰ δεινοῦ τινος μίσους ἐγγενομένου ταῖς πόλεσι πρὸς αὐτὸν, αἱ μὲν προσετίθεντο Καρχηδονίοις, αἱ δ' ἐπήγοντο Μαμερτίνους. Ἀποστάσεις δ' ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς καὶ σύστασιν ἰσχυρὰν ἐπ' αὐτὸν, ἐδέξατο γράμματα Σαυνιτῶν καὶ Ταραντίνων, μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς πρὸς τὸν πόλεμον, εἰργομένων δὲ τῆς χώρας ἁπάσης, καὶ δεομένων βοηθεῖν. Τοῦτο δ' ἦν εὐπρέπεια, μὴ φυγὴν εἶναι, μηδ' ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν αὐτόθι πραγμάτων· τὸ δ' ἀληθὲς, οὐ δυνάμενος κρατεῖν Σικελίας, ὥσπερ νεὼς ταραχθείσης, ἀλλ' ἔκβασιν ζητῶν, αὖθις ἐξέριψεν ἑαυτὸν εἰς Ἰταλίαν. Λέγεται δ', ἀπαλλαττόμενος ἤδη, πρὸς τὴν νῆσον ἀπιδὼν εἰπεῖν τοῖς περὶ αὐτόν· „Οἵαν ἀπολείπομεν, ὦ φίλοι, Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν!" Καὶ τοῦτο μὲν, ὥσπερ εἰκάσθη, μετ' οὐ πολὺν χρόνον ἐγένετο.

XXIV. Τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας ἀπέβαλε τῶν νεῶν πολλὰς, ταῖς δ' ἄλλαις κατέφυγε πρὸς τὴν
399 Ἰταλίαν. Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους προδιαβάντες, ἀντιτάξασθαι μὲν ἐφοβήθησαν, ἐν δὲ ταῖς δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες, ἅπαν τὸ στράτευμα συνετάραξαν. Ἔπεσε δὲ δύο θηρία, καὶ συχνοὶ τῶν ὀπισθοφυλακούντων ἀπέθνησκον. Αὐτὸς οὖν ἀπὸ τοῦ στόματος παρελάσας, ἠμύνετο καὶ διεκινδύνευε πρὸς ἄνδρας ἠσκημένους μάχεσθαι καὶ θυμοειδεῖς. Πληγεὶς δὲ τὴν κεφαλὴν ξίφει, καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς, ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. Εἷς δὲ καὶ πολὺ πρὸ τῶν ἄλλων ἐπιδραμὼν, ἀνὴρ τῷ τε σώματι μέγας καὶ τοῖς ὅπλοις λαμπρὸς, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ, καὶ προελθεῖν ἐκέλευεν αὐτὸν, εἰ ζῇ. Παροξυν-

θεὶς δὲ ὁ Πύῤῥος, ἐπέστρεψε βίᾳ μετὰ τῶν ὑπασπιστῶν, καὶ μετ' ὀργῆς αἵματι πεφυρμένος, καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον, ὠσάμενος διὰ τῶν αὐτῶν, καὶ φθάσας τὸν βάρβαρον ἔπληξε κατὰ τῆς κεφαλῆς τῷ ξίφει πληγὴν, ῥώμῃ τε τῆς χειρὸς ἅμα καὶ βαφῆς ἀρετῇ τοῦ σιδήρου μέχρι τῶν κάτω διαδραμοῦσαν, ὥστε ἐνὶ χρόνῳ περιπεσεῖν ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. Τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν Πύῤῥον. Ὁ δὲ, τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν, ἧκεν εἰς Τάραντα, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς κομίζων. Ἀναλαβὼν δὲ τῶν Ταραντίνων τοὺς κρατίστους, εὐθὺς ἐπὶ Ῥωμαίους ἦγεν ἐν τῇ Σαυνίτιδι στρατοπεδεύοντας.

XXV. Τῶν δὲ Σαυνιτῶν τά τε πράγματα διέφθαρτο, καὶ τοῦ φρονήματος ὑφεῖντο, κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ τῶν Ῥωμαίων. Ἐνῆν δέ τι καὶ πρὸς τὸν Πύῤῥον ὀργῆς διὰ τὸν εἰς Σικελίαν πλοῦν· ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ συνῆλθον. Πάντας δὲ νείμας δίχα, τοὺς μὲν εἰς τὴν Λευκανίαν ἔπεμψεν, ἀντιληψομένους τοῦ ἑτέρου τῶν ὑπάτων, ὡς μὴ βοηθοίη· τοὺς δ' ἦγεν αὐτὸς ἐπὶ Μάνιον Κούριον, περὶ πόλιν Βενεβεντὸν ἱδρυμένον ἐν ἀσφαλεῖ, καὶ περιμένοντα τὴν ἐκ τῆς Λευκανίας βοήθειαν. Ἔστι δ' ὅτε καὶ, μαντειῶν αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων, ἡσύχαζε. Σπεύδων οὖν ὁ Πύῤῥος ἐπιθέσθαι τούτοις, πρὶν ἐκείνους ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους, καὶ τῶν θηρίων τὰ μαχιμώτατα λαβὼν, νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον. Περιιόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν, οὐκ ἀντέσχε τὰ φῶτα, καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον· καὶ περὶ ταῦτα γενομένης διατριβῆς, ἥ τε νὺξ ἐπέλιπε, καὶ καταφανὴς ἦν ἅμ' ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος ἀπὸ τῶν ἄκρων, ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν. Οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ Μανίῳ γενομένων, καὶ τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος, ἐξελθὼν ἐνέβαλε τοῖς πρώτοις, καὶ τρεψάμενος ἐφόβησε πάντας, ὥστε καὶ πεσεῖν οὐκ ὀλίγους, καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι καταληφθέντας. Αὕτη τὸν Μάνιον ἡ νίκη κατήγαγε μαχούμενον εἰς τὸ πεδίον· καὶ συμβαλὼν ἐκ προδήλου, τὸ μὲν ἐτρέψατο τῶν πολεμίων, ἔστι δ' ᾗ βιασθεὶς ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατό-

πεδον, τοὺς φύλακας ἐκάλει συχνοὺς ἐφεστῶτας τῷ χάρακι μετὰ τῶν ὅπλων καὶ ἀκμῆτας. Οἱ δ' ἐπιφανέντες ἐκ τόπων ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες, ἠνάγκασαν ἀποστρέφεσθαι, καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω ταραχὴν ἀπεργάσασθαι καὶ σύγχυσιν, ἣ τὸ νίκημα παρέδωκε τοῖς Ῥωμαίοις, ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας. Καὶ γὰρ φρόνημα καὶ δύναμιν καὶ δόξαν ὡς ἄμαχοι προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων, Ἰταλίαν μὲν εὐθύς, ὀλίγῳ δ' ὕστερον Σικελίαν κατέσχον.

400 XXVI. Οὕτω μὲν ἐξέπεσε τῶν Ἰταλικῶν καὶ Σικελικῶν ἐλπίδων ὁ Πύῤῥος, ἑξαετῆ χρόνον ἀναλώσας περὶ τοὺς ἐκεῖ πολέμους, καὶ τοῖς μὲν πράγμασιν ἐλαττωθείς, τὸ δ' ἀνδρεῖον ἀνίκητον ἐν ταῖς ἥτταις διαφυλάξας· καὶ νομισθεὶς ἐμπειρίᾳ μὲν πολεμικῇ καὶ χειρὶ καὶ τόλμῃ πολὺ πρῶτος εἶναι τῶν καθ' αὑτὸν βασιλέων, ἃ δὲ ταῖς πράξεσιν ἐκτᾶτο, ταῖς ἐλπίσιν ἀπολλύναι, δι' ἔρωτα τῶν ἀπόντων οὐδὲν εἰς ὃ δεῖ θέσθαι τῶν ὑπαρχόντων φθάσας. Ὅθεν ἀπείκαζεν αὐτὸν ὁ Ἀντίγονος κυβευτῇ πολλὰ βάλλοντι καὶ καλά, χρῆσθαι δ' οὐκ ἐπισταμένῳ τοῖς πεσοῦσι. Κομίσας δ' εἰς Ἤπειρον ὀκτακισχιλίους πεζοὺς καὶ πεντακοσίους ἱππεῖς, χρήματα δ' οὐκ ἔχων, ἐζήτει πόλεμον, ᾧ θρέψει τὸ στράτευμα. Καί τινων Γαλατῶν αὐτῷ προσγενομένων, ἐνέβαλεν εἰς Μακεδονίαν, Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος, ὡς ἁρπαγῇ καὶ λεηλασίᾳ χρησόμενος. Ἐπεὶ δὲ καὶ πόλεις ἐλάμβανε συχνάς, καὶ στρατιῶται δισχίλιοι μετέστησαν ὡς αὐτόν, ἐλπίσας τι πλέον, ὥρμησεν ἐπὶ τὸν Ἀντίγονον· καὶ περὶ τὰ στενὰ προσπεσών, συνετάραξε τὴν στρατιὰν ἅπασαν. Οἱ δ' ἐπὶ τῆς οὐραγίας τεταγμένοι Γαλάται τοῦ Ἀντιγόνου, συχνοὶ τὸ πλῆθος ὄντες, ὑπέστησαν εὐρώστως· καὶ καρτερᾶς μάχης γενομένης, τούτων οἱ μὲν πλεῖστοι κατεκόπησαν, οἱ δὲ τῶν ἐλεφάντων ἡγεμόνες ἐγκαταλαμβανόμενοι, παρέδωκαν ἑαυτοὺς καὶ τὰ θηρία πάντα. Προσλαβὼν δ' ὁ Πύῤῥος τηλικαῦτα, καὶ τῇ τύχῃ μᾶλλον, ἢ τοῖς λογισμοῖς, χρώμενος, ἐπῆγε τῇ φάλαγγι τῶν Μακεδόνων, ἀναπεπλησμένῃ ταραχῆς καὶ φόβου διὰ τὴν ἧτταν. Ὅθεν ἐμβολῆς μὲν ἔσχοντο καὶ μάχης πρὸς αὐτόν· τὴν δὲ δεξιὰν προτείνων, καὶ στρατηγοὺς καὶ ταξιάρχους ἀνακαλούμενος, ἅπαντας ὁμαλῶς ἀπέστησε τοὺς πεζοὺς τοῦ Ἀντιγόνου. Κἀκεῖνος μὲν ὑποφεύ-

γων, ἅμα τῶν παραλίων τινὰς πόλεων κατέσχεν· ὁ δὲ Πύῤῥος ἐν εὐτυχήμασι τοσούτοις μέγιστον αὐτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχθαι τὸ περὶ τοὺς Γαλάτας, τὰ κάλλιστα καὶ λαμπρότατα τῶν λαφύρων ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς Ἰτωνίδος Ἀθηνᾶς, τόδε τὸ ἐλεγεῖον ἐπιγράψας·

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα·
Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

Μετὰ τὴν μάχην δ' εὐθὺς ἀνελάμβανε τὰς πόλεις. Τῶν δ' Αἰγαίων κρατήσας, τά τ' ἄλλα χαλεπῶς ἐχρήσατο τοῖς ἀνθρώποις, καὶ φρουρὰν Γαλατικὴν ἐν τῇ πόλει κατέλιπε τῶν μετ' αὐτοῦ στρατευομένων. Οἱ δὲ Γαλάται, γένος ἀπληστότατον χρημάτων ὄντες, ἐπέθεντο τῶν βασιλέων αὐτόθι κεκηδευμένων τοὺς τάφους ὀρύττειν, καὶ τὰ μὲν χρήματα διήρπασαν, τὰ δ' ὀστᾶ πρὸς ὕβριν διέῤῥιψαν. Τοῦτο κούφως ἔδοξε καὶ ὀλιγώρως ἐνεγκεῖν ὁ Πύῤῥος, ἢ δι' ἀσχολίας τινὰς ὑπερθέμενος, ἢ παρεὶς ὅλως διὰ φόβον τὸ κολάσαι τοὺς βαρβάρους· ὅθεν ἤκουσε κακῶς ὑπὸ τῶν Μακεδόνων. Οὔπω δὲ τῶν πραγμάτων αὐτῷ βεβαιότητα καὶ σύστασιν ἐχόντων μόνιμον, ᾐωρεῖτο τῇ γνώμῃ πάλιν πρὸς ἑτέρας ἐλπίδας. Καὶ τὸν μὲν Ἀντίγονον ἐφυβρίζων, ἀναίσχυντον ἐκάλει, μὴ λαμβάνοντα θοιμάτιον, ἀλλ' ἔτι τὴν πορφύραν φοροῦντα. Κλεωνύμου δὲ τοῦ Σπαρτιάτου παραγενομένου, καὶ καλοῦντος αὐτὸν ἐπὶ τὴν Λακεδαίμονα, προθύμως ὑπήκουσεν. Ὁ δὲ Κλεώνυμος ἦν μὲν γένους βασιλικοῦ, δοκῶν δὲ βίαιος εἶναι καὶ μοναρχικὸς, οὔτ' εὔνοιαν, οὔτε πίστιν εἶχεν· ἀλλ' Ἄρευς ἐβασίλευε. Καὶ τοῦτο μὲν ἦν κοινὸν ἔγκλημα καὶ πρεσβύτερον αὐτῷ πρὸς τοὺς πολίτας. Γυναῖκα δὲ καλὴν καὶ γένους 401
βασιλικοῦ, Χελιδονίδα τὴν Λεωτυχίδου, πρεσβύτερος ὢν ἔγημεν ὁ Κλεώνυμος. Ἡ δὲ, Ἀκροτάτῳ τῷ Ἄρεως ἐπιμανεῖσα, μειρακίῳ καθ' ὥραν ἀκμάζοντι, λυπηρὸν ἐρῶντι τῷ Κλεωνύμῳ καὶ ἄδοξον ὁμοῦ παρεῖχε τὸν γάμον· οὐδένα γὰρ ἐλάνθανε Σπαρτιατῶν καταφρονούμενος ὑπὸ τῆς γυναικός. Οὕτω δὲ τῶν κατ' οἶκον ἀνιαρῶν τοῖς πολιτικοῖς προσγενομένων, ὑπ' ὀργῆς καὶ βαρυθυμίας ἐπῆγε τῇ Σπάρτῃ τὸν Πύῤῥον, ἔχοντα δισμυρίους καὶ πεντακισχιλίους πεζοὺς, δισχιλίους δ'

ἱππεῖς, ἐλέφαντας δ' εἰκοσιτέσσαρας· ὥστε τῷ μεγέθει τῆς παρασκευῆς εὐθὺς εἶναι κατάδηλον, οὐ Κλεωνύμῳ τὴν Σπάρτην, ἀλλὰ τὴν Πελοπόννησον ἑαυτῷ κτώμενον· ἐπεὶ τῷ γε λόγῳ καὶ πρὸς αὐτοὺς ἔξαρνος ἦν τοὺς Λακεδαιμονίους, πρεσβεύσαντας εἰς Μεγάλην πόλιν. Ἔφη γὰρ ἐλευθερώσων τὰς ὑπ' Ἀντιγόνῳ πόλεις ἀφῖχθαι, καὶ νὴ Δία τοὺς νεωτέρους παῖδας εἰς Σπάρτην, εἰ μή τι κωλύει, πέμψων, ἐντραφησομένους τοῖς Λακωνικοῖς ἔθεσιν, ὡς τούτῳ πλέον ἔχοιεν ἤδη τῶν πάντων βασιλέων. Ταῦτα πλαττόμενος, καὶ παράγων τοὺς ἐντυγχάνοντας αὐτῷ καθ' ὁδὸν, ὡς πρῶτον ἥψατο τῆς Λακωνικῆς, ἁρπαγὴν ἐποιεῖτο καὶ λεηλασίαν. Ἐγκαλούντων δὲ τῶν πρέσβεων, ὅτι μὴ καταγγείλας πόλεμον ἐξενήνοχε πρὸς αὐτούς· „Ἀλλ' οὐδ' ὑμᾶς (ἔφη) τοὺς Σπαρτιάτας ἴσμεν, ὅ τι ἂν μέλλητε ποιεῖν, ἑτέροις προλέγοντας." Εἷς δὲ τῶν παρόντων, ὄνομα Μανδρικίδας, εἶπε, τῇ φωνῇ λακωνίζων· „Αἰ μὲν ἐσσὶ τύ γε θεὸς, οὐδὲν μὴ πάθωμεν· οὐ γὰρ ἀδικεῦμεν· αἰ δ' ἄνθρωπος, ἔσσεται καὶ τεῦ κάῤῥων ἄλλος."

XXVII. Ἐκ τούτου κατέβαινεν ἐπὶ τὴν Λακεδαίμονα· καὶ τοῦ Κλεωνύμου κελεύοντος ἐξ ἐφόδου προσβαλεῖν, φοβηθεὶς δ' ὁ Πύῤῥος, ὡς λέγεται, μὴ διαρπάσωσιν οἱ στρατιῶται τὴν πόλιν ἐν νυκτὶ προσπεσόντες, ἐπέσχεν, εἰπὼν, ὅτι ταὐτὸ ποιήσουσι μεθ' ἡμέραν. Αὐτοί τε γὰρ ἦσαν ὀλίγοι καὶ ἀπαράσκευοι διὰ τὸ αἰφνίδιον· ὅ τ' Ἄρευς οὐκ ἐτύγχανε παρὼν, ἀλλ' ἐν Κρήτῃ Γορτυνίοις πολεμουμένοις βοηθῶν. Καὶ τοῦτο δὴ μάλιστα τὴν πόλιν ἔσωσε δι' ἐρημίαν καὶ ἀσθένειαν καταφρονηθεῖσαν. Ὁ μὲν γὰρ Πύῤῥος οὐδένα μαχεῖσθαι νομίζων, κατηυλίσατο· τοῦ δὲ Κλεωνύμου τὴν οἰκίαν οἵ τε φίλοι καὶ εἵλωτες οὕτως ἐκόσμησαν καὶ παρεσκεύασαν, ὡς δειπνήσοντος τοῦ Πύῤῥου παρ' αὐτῷ. Γενομένης δὲ νυκτὸς, οἱ Λακεδαιμόνιοι πρῶτον μὲν ἐβουλεύσαντο τὰς γυναῖκας εἰς Κρήτην ἀποστέλλειν, αἱ δ' ἀντέστησαν. Ἀρχιδαμία δὲ καὶ ξίφος ἔχουσα πρὸς τὴν γερουσίαν ἦλθεν, ἐγκαλοῦσα τοῖς ἀνδράσιν ὑπὲρ τῶν γυναικῶν, εἰ ζῆν αὐτὰς ἀξιοῦσι, τῆς Σπάρτης ἀπολομένης. Ἔπειτα τῷ στρατοπέδῳ τῶν πολεμίων παράλληλον ἔγνωσαν ἐμβαλόντες τάφρον, ἔνθεν καὶ ἔνθεν αὐτῆς στῆσαι τὰς ἁμάξας, μέχρι τοῦ μέσου τῶν τροχῶν καταχώσαντες, ὅπως, ἕδραν ἔχουσαι δυσεκβίαστον, ἐμ-

ποδῶν ὦσθαι τοῖς θηρίοις. Ἀρχομένοις δὲ ταῦτα πράττειν, ἧκον αὐτοῖς τῶν παρθένων καὶ γυναικῶν, αἱ μὲν ἐν ἱματίοις, καταζωσάμεναι τοὺς χιτωνίσκους, αἱ δὲ μονοχίτωνες, συνεργασόμεναι τοῖς πρεσβυτέροις. Τοὺς δὲ μάχεσθαι μέλλοντας ἐκέλευον ἡσυχάζειν, καὶ λαβοῦσαι μέτρον, αὐταὶ καθ' αὑτὰς ἐξειργάσαντο τῆς τάφρου τὸ τρίτον μέρος. Ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἕξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος· ὡς δ' Ἱερώνυμος, ἔλαττον. Ἅμα δ' ἡμέρᾳ, κινουμένων τῶν πολεμίων, τὰ ὅπλα τοῖς νέοις ὀρέγουσαι, καὶ παραδιδοῦσαι τὴν τάφρον, ἀμύνειν καὶ φυλάττειν ἐκέλευον, ὡς ἡδὺ μὲν νικᾶν ἐν ὀφθαλμοῖς τῆς πατρίδος, εὐκλεὲς δὲ θνήσκειν ἐν χερσὶ μητέρων καὶ γυναικῶν, ἀξίως τῆς Σπάρτης πεσόντας. Ἡ δὲ Χελιδονὶς, ἐκ ποδῶν οὖσα καθ' ἑαυτὴν, βρόχον εἶχεν ἐνημμένον, 402
ὅπως ἐπὶ τῷ Κλεωνύμῳ μὴ γένοιτο, τῆς πόλεως ἁλούσης.

XXVIII. Αὐτὸς μὲν οὖν ὁ Πύῤῥος ἐβιάζετο κατὰ στόμα τοῖς ὁπλίταις πρὸς ἀσπίδας πολλὰς τῶν Σπαρτιατῶν ἀντιπαρατεταγμένας, καὶ τάφρον οὐ περατὴν, οὐδὲ βάσιν ἀσφαλῆ τοῖς μαχομένοις παρέχουσαν ὑπὸ χαυνότητος. Ὁ δὲ παῖς Πτολεμαῖος, ἔχων δισχιλίους Γαλάτας, καὶ Χαόνων λογάδας, ἐξελίξας τὴν τάφρον, ἐπειρᾶτο κατὰ τὰς ἁμάξας ὑπερβαίνειν. Αἱ δὲ ὑπὸ βάθους καὶ πυκνότητος οὐ μόνον τούτοις τὴν ἔφοδον, ἀλλὰ καὶ τοῖς Λακεδαιμονίοις δύσεργον ἐποίουν τὴν βοήθειαν. Ἀνασπώντων δὲ τῶν Γαλατῶν τοὺς τροχοὺς, καὶ ὑποσυρόντων τὰς ἁμάξας εἰς τὸν ποταμὸν, κατιδὼν τὸν κίνδυνον ὁ νεανίας Ἀκρότατος, καὶ τήν τε πόλιν διαδραμὼν μετα τριακοσίων, περιῆλθε τὸν Πτολεμαῖον, οὐ συνορώμενος ὑπ' αὐτοῦ διά τινας συγκλινίας, ἕως προσέβαλε τοῖς ἐσχάτοις, καὶ μεταβαλόντας ἠνάγκασε μάχεσθαι πρὸς ἑαυτὸν ὠθουμένους ὑπ' ἀλλήλων, εἴς τε τὴν τάφρον καὶ περὶ ταῖς ἁμάξαις πίπτοντας· ἄχρις οὗ φόνῳ πολλῷ μόλις ἀνεκόπησαν. Ἐθεῶντο δὲ οἵ τε πρεσβύτεροι, καὶ τῶν γυναικῶν τὸ πλῆθος ἀριστεύοντα τὸν Ἀκρότατον. Ἐπεὶ δ' ἀπῄει πάλιν διὰ τῆς πόλεως ἐπὶ τὴν αὑτοῦ τάξιν αἵματος κατάπλεως καὶ γαῦρος, ὑπὸ τῆς νίκης ἐπηρμένος, καὶ μείζων ἔδοξε γεγονέναι καὶ καλλίων ταῖς Λακαίναις, καὶ τὴν Χελιδονίδα τοῦ ἔρωτος ἐζήλουν. Τῶν δὲ πρεσβυτέρων τινὲς ἐπηκολούθουν βοῶντες· „Ὄχεε, Ἀκρότατε, καὶ οἶφε τὰν Χελιδονίδα. Μό-

νου παῖδας ἀγαθοὺς τῇ Σπάρτῃ ποίει." Κατὰ δὲ τὸν Πύῤῥον αὐτὸν ἰσχυρᾶς μάχης συνεστώσης, ἄλλοι τε λαμπρῶς ἠγωνίζοντο, καὶ Φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν, καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ᾔσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἐκστάς τινι τῶν ἐπιτεταγμένων τῆς χώρας, ἔπεσεν ἐντὸς τῶν ὅπλων, ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις.

XXIX. Νυκτὸς δὲ ἡ μάχη διεκρίθη· καὶ κοιμώμενος ὁ Πύῤῥος, ὄψιν εἶδε τοιαύτην. Ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν Λακεδαίμονα, καὶ φλέγεσθαι πᾶσαν, αὐτὸς δὲ χαίρειν. Ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος, τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν, καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. Οἱ μὲν οὖν ἄλλοι θαυμαστῶς ἐπείθοντο· Λυσιμάχῳ δ' οὐκ ἤρεσκεν ἡ ὄψις, ἀλλ' ἔφη δεδιέναι, μὴ, καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία, καὶ τῷ Πύῤῥῳ προσημαίνῃ τὸ θεῖον ἀνείσοδον ἔσεσθαι τὴν πόλιν. Ὁ δὲ Πύῤῥος εἰπὼν, ὅτι ταῦτα μὲν ἐστι πυλαϊκῆς ὀχλαγωγίας, καὶ ἀσαφίαν ἔχοντα πολλὴν, ἐκεῖνο δὲ δεῖ, τὰ ὅπλα διὰ χειρῶν ἔχοντας, ὑποβάλλειν ἑαυτοῖς,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ Πύῤῥου,

ἐξανέστη, καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. Ἠμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι, καὶ παρῆσαν αἱ γυναῖκες, ὀρέγουσαι βέλη, καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι, καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. Τήν τε τάφρον οἱ Μακεδόνες χοῦν ἐπειρῶντο, πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο. Καὶ πρὸς τοῦτο τῶν Λακεδαιμονίων βοηθούντων, ὤφθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ Πύῤῥος ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. Κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης, καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ Πύῤῥῳ, καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον, ἐξήλατο Κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα, καὶ κατέβαλε δυσθανατῶν τὸν Πύῤῥον εἰς τόπους ὀλισθηροὺς καὶ κατάντεις.
408 Θορυβουμένων δὲ περὶ τοῦτον τῶν ἑταίρων, ἐπέδραμον οἱ Σπαρτιᾶται, καὶ χρώμενοι τοῖς βέλεσιν, ἐξέωσαν ἅπαντας.

Ἐκ δὲ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυσεν, οἰόμενος ἐνδώσειν τι τοὺς Λακεδαιμονίους, σχεδὸν ἁπάντων κατατετρωμένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. Ἡ δ' ἀγαθὴ τύχη τῆς πόλεως, εἴτε πεῖραν ἀρετῆς λαμβάνουσα τῶν ἀνδρῶν, εἴθ' ἑαυτῆς, ὅσην ἐν ἀπόροις ἔχει δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶν Λακεδαιμονίων ἐχόντων τὰς ἐλπίδας, Ἀμεινίαν τε Φωκέα, τῶν Ἀντιγόνου στρατηγῶν, ἐκ Κορίνθου βοηθήσοντα παρεισήγαγε μετὰ ξένων· καὶ, τούτου ἄρτι δεδεγμένων, ὁ βασιλεὺς αὐτοῖς Ἄρευς ἧκεν ἐκ Κρήτης, δισχιλίους στρατιώτας κομίζων. Αἵ τε δὴ γυναῖκες εὐθὺς ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν, οὐδὲν ἔτι πολυπραγμονεῖν ἀξιοῦσαι τῶν πολεμικῶν· καὶ τοὺς παρ' ἡλικίαν ἐν τοῖς ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες, αὐτοὺς ἐπὶ τὴν μάχην ἔταξαν.

XXX. Τὸν δὲ Πύῤῥον ἔσχε μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας, κρατῆσαι τῆς πόλεως· ὡς δ' οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη, καὶ τὴν χώραν ἐπόρθει, διανοούμενος αὐτόθι χειμάσαι. Τὸ δὲ χρεὼν ἦν ἄφυκτον. Ἐν γὰρ Ἄργει στάσις ἦν Ἀριστέου πρὸς Ἀρίστιππον. Ἐπεὶ δ' ὁ Ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ Ἀντιγόνῳ, φθάσας ὁ Ἀριστέας ἐκάλει τὸν Πύῤῥον εἰς τὸ Ἄργος. Ὁ δ', ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλινδῶν, καὶ ταῖς μὲν εὐτυχίαις ἐπ' ἄλλας χρώμενος ἀφορμὰς, ἃ δ' ἔπταιεν, ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧτταν, οὔτε νίκην ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. Εὐθὺς οὖν ἀνεζεύγνυεν ἐπὶ τὸ Ἄργος. Ὁ δ' Ἄρευς, ἐνέδρας τε πολλὰς ὑφεὶς, καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ, περιέκοπτε τοὺς Γαλάτας καὶ τοὺς Μολοσσοὺς ὀπισθοφυλακοῦντας. Τῷ δὲ Πύῤῥῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν, ἀλόβων γενομένων, ὑπὸ τοῦ μάντεως ἀποβολή τινος τῶν ἀναγκαίων. Παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς, ἐκέλευσε τὸν υἱὸν Πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν· αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. Ὀξείας δὲ περὶ τὸν Πτολεμαῖον μάχης γενομένης, καὶ τῶν ἐπιλέκτων Λακεδαιμονίων, ὧν Εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸς αὐτοὺς συμπλεκομένων, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξὺς, Ὄροισος ὄνομα, Κρὴς Ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν, ἀγωνιζόμενον ἐκθύμως τὸν νεανίσκον ἐπάταξε καὶ κατέβαλε. Πεσόντος δ'

ἐκείνου καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν, οἱ Λακεδαιμόνιοι, διώκοντες καὶ κρατοῦντες, ἔλαθον εἰς τὸ πεδίον συμβαλόντες, καὶ ἀπολειφθέντες ὑπὸ τῶν ὁπλιτῶν· ἐφ' οὓς ὁ Πύῤῥος, ἄρτι τὸν θάνατον τοῦ παιδὸς ἀκηκοὼς καὶ περιπαθῶν, ἐπέστρεψε τοὺς ἱππεῖς τῶν Μολοσσῶν. Καὶ πρῶτος εἰσελάσας, ἐνεπίμπλατο φόνου τῶν Λακεδαιμονίων, ἀεὶ μέν τις ἄμαχος καὶ δεινὸς ἐν τοῖς ὅπλοις φαινόμενος, τότε δ' ὑπερβάλλων τόλμῃ καὶ βίᾳ τοὺς προτέρους ἀγῶνας. Ἐπεὶ δ' ἐπέβαλε τῷ Εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλαγίου παραστὰς, μικρὸν ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας χεῖρα διακόψαι τοῦ Πύῤῥου, τὴν δ' ἡνίαν πατάξας ἀπέκοψεν. Ὁ δὲ Πύῤῥος, ἅμα τῇ πληγῇ τοῦ δόρατος διελάσας ἐκεῖνον, ἀπεῤῥύη τοῦ ἵππου, καὶ πεζὸς ἤδη πάντας ἐπὶ τῷ Εὐάλκῳ μαχομένους ἀπέκτεινε τοὺς λογάδας. Καὶ μέγα τοῦτο τῇ Σπάρτῃ παρανάλωμα τοῦ πολέμου πέρας ἔχοντος ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρχόντων.

XXXI. Ὁ δὲ Πύῤῥος, ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας, καὶ λαμπρὸν ἐπιτάφιον ἀγωνισάμενος, καὶ πολὺ τῆς λύπης ἐν τῷ πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ, προῆγεν
404 ἐπὶ τὸ Ἄργος· καὶ τὸν Ἀντίγονον ἤδη πυνθανόμενος ἐπὶ τῶν ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι, περὶ τὴν Ναυπλίαν ἐστρατοπέδευσε. Τῇ δ' ὑστεραίᾳ κήρυκα πρὸς τὸν Ἀντίγονον ἔπεμψε, λυμεῶνά τε καλῶν, καὶ προκαλούμενος εἰς τὸ πεδίον καταβάντα διαγωνίσασθαι περὶ τῆς βασιλείας. Ὁ δ' ἀπεκρίνατο, τὴν μὲν αὑτοῦ στρατηγίαν οὐχ ὅπλων μᾶλλον, ἢ καιρῶν, εἶναι, τῷ δὲ Πύῤῥῳ πολλὰς ὁδοὺς ἀνεῳγέναι πρὸς θάνατον, εἰ ζῆν μὴ σχολάζει. Πρὸς δ' ἀμφοτέρους πρέσβεις ἧκον ἐξ Ἄργους, ἀπαλλάττεσθαι δεόμενοι, καὶ τὴν πόλιν ἐᾶν μηδετέρου γενομένην, εὔνουν δ' οὖσαν ἀμφοτέροις. Ὁ μὲν οὖν Ἀντίγονος ἐπείθετο, καὶ τὸν υἱὸν ἐδίδου τοῖς Ἀργείοις ὅμηρον· ὁ δὲ Πύῤῥος ὡμολόγει μὲν ἀπαλλαγήσεσθαι, μὴ παρέχων δὲ πίστιν, ὑποπτότερος ἦν. Γίνεται δὲ σημεῖον αὐτῷ τε τῷ Πύῤῥῳ μέγα· τῶν γὰρ βοῶν τεθυμένων αἱ κεφαλαὶ κείμεναι χωρὶς ἤδη τάς τε γλώττας ὤφθησαν προβάλλουσαι καὶ περιλιχμώμεναι τὸν ἑαυτῶν φόνον· ἔν τε τῇ πόλει τῶν Ἀργείων ἡ τοῦ Λυκείου προφῆτις Ἀπόλλωνος ἐξέδραμε βοῶσα, νεκρῶν ὁρᾶν καὶ φόνου κατάπλεω

τὴν πόλιν, τὸν δ' ἀετὸν ἐπὶ τὸν ἀγῶνα χωροῦντα, εἶτα φροῦδον εἶναι.

XXXII. Σκότους δὲ πολλοῦ προσμίξας ὁ Πύῤῥος τοῖς τείχεσι, καὶ πύλην εὑρὼν, ἣν Διαμπερὲς καλοῦσιν, ἀνεῳγμένην ὑπὸ τοῦ Ἀριστέου αὐτοῖς, ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς Γαλάτας τοὺς παρ' αὐτῷ καὶ τὴν ἀγορὰν καταλαβεῖν ἐλάνθανε· τῆς δὲ πύλης τοὺς ἐλέφαντας οὐ δεχομένης, καὶ διὰ τοῦτο τοὺς πύργους αὐτῶν ἀφαιρούντων, εἶτα πάλιν ἐν σκότει καὶ θορύβῳ περιτιθέντων, καὶ γενομένης διατριβῆς, οἱ Ἀργεῖοι συναισθόμενοι, πρὸς τὴν Ἀσπίδα καὶ τοὺς ὀχυροὺς τόπους ἀνέθεον, καὶ τὸν Ἀντίγονον ἐκάλουν πέμποντες. Ὁ δ', αὐτὸς μὲν ἐγγὺς προσελάσας, ἐφήδρευε, τοὺς δὲ στρατηγοὺς καὶ τὸν υἱὸν εἰσέπεμψε συχνὴν βοήθειαν ἄγοντας. Ἧκε δὲ καὶ Ἄρευς ἔχων χιλίους Κρῆτας, καὶ Σπαρτιάτας τοὺς ἐλαφροτάτους. Καὶ πάντες ἅμα τοῖς Γαλάταις προσβαλόντες, εἰς πολὺν θόρυβον κατέστησαν αὐτούς. Ὁ δὲ Πύῤῥος εἰσιὼν μετ' ἀλαλαγμοῦ καὶ βοῆς παρὰ τὴν Κυλάραβιν, ὡς οἱ Γαλάται τοῖς περὶ αὐτὸν ἀντηλάλαξαν οὐκ ἰταμὸν, οὐδὲ θαῤῥαλέον, εἴκασε ταραττομένων εἶναι τὴν φωνὴν καὶ πονούντων. Ἐπῆγεν οὖν θᾶττον, ὠθῶν τοὺς πρὸ αὐτοῦ τῶν ἱππέων δυσοδοῦντας ἐν τοῖς ὑπονόμοις, ὧν ἡ πόλις ἐστὶ μεστὴ, καὶ κινδυνεύοντας. Ἦν δὲ καὶ ἀσάφεια πολλὴ τῶν δρωμένων καὶ παραγγελλομένων ἐν νυκτομαχίᾳ, καὶ πλάναι καὶ διασπασμοὶ περὶ τοὺς στενωποὺς, καὶ στρατηγίας οὐδὲν ἔργον ὑπὸ σκότους καὶ βοῆς ἀκρίτου καὶ στενότητος· ἀλλὰ διέτριβον ἄλλως περιμένοντες ἀμφότεροι τὴν ἡμέραν. Ἤδη δὲ διαλάμποντος, ἥ τ' Ἀσπὶς ὅπλων περίπλεως πολεμίων ὀφθεῖσα τὸν Πύῤῥον διετάραξε, καὶ τῆς ἀγορᾶς ἐν πολλοῖς ἀναθήμασι κατιδὼν λύκον χαλκοῦν καὶ ταῦρον, οἷον εἰς μάχην συνιόντας ἀλλήλοις, ἐξεπλάγη· χρησμόν τινα πρὸς ἑαυτὸν ἀνενεγκὼν παλαιὸν, ὡς ἀποθανεῖν αὐτῷ πεπρωμένον, ὅταν λύκον ἴδῃ ταύρῳ μαχόμενον. Ταῦτα δ' Ἀργεῖοι πάθους ὑπομνήματα παλαιοῦ γεγενῆσθαι παρ' αὐτοῖς λέγουσι. Δαναῷ γὰρ, ὅτε πρῶτον ἐπέβη τῆς χώρας κατὰ τὰ Πυράμια τῆς Θυρεάτιδος, εἰς Ἄργος πορευομένῳ, λύκον φανῆναι ταύρῳ μαχόμενον. Θέμενον δὲ τὸν Δαναὸν, ὡς ὁ λύκος εἴη πρὸς αὐτοῦ, (ξένον γὰρ ὄντα τοῖς ἐγχωρίοις ἐπιτίθεσθαι,

καθάπερ αὐτὸν) ἐφορᾶν τὴν μάχην, καὶ τοῦ λύκου κρατή-
σαντος, Ἀπόλλωνι Λυκείῳ προσευξάμενον ἐπιχειρῆσαι καὶ
περιγενέσθαι, στάσει Γελάνορος, ὃς τότε τῶν Ἀργείων ἐβα-
405 σίλευεν, ἐκπεσόντος. Τὸ μὲν οὖν ἀνάθημα τοῦτον εἶχε τὸν
λόγον.

XXXIII. Πρὸς δὲ τὴν ὄψιν ὁ Πύῤῥος ἅμα καὶ τῷ μηδὲν προχωρεῖν, ὧν ἤλπιζεν, ἀθυμῶν, ἀναστρέφειν διενοεῖτο· τὰς δὲ πύλας στενὰς οὔσας φοβούμενος, ἔπεμψε πρὸς τὸν υἱὸν Ἕλενον μετὰ τῆς πολλῆς δυνάμεως ἔξω καταλελειμμένον, κελεύων τοῦ τείχους διασκάπτειν καὶ δέχεσθαι τοὺς ἐκπίπτοντας, ἂν ἐνοχλῶσιν οἱ πολέμιοι. Σπουδῇ δὲ καὶ θορύβῳ τοῦ πεμφθέντος οὐδὲν σαφὲς ἀπαγγέλλοντος, ἀλλὰ καὶ διαμαρτίας γενομένης, τῶν θηρίων τὰ λοιπὰ καὶ στρατιώτας ἀναλαβὼν τοὺς κρατίστους ὁ νεανίσκος, εἴσω διὰ τῶν πυλῶν ἐχώρει τῷ πατρὶ βοηθήσων. Ἔτυχε δ᾽ ὁ Πύῤῥος ἀναστρέφων ἤδη. Καὶ μέχρι μὲν ἡ ἀγορὰ παρεῖχεν ὑπεξάγοντι χώραν καὶ μαχομένῳ, ἐκ μεταβολῆς ἠμύνετο τοὺς ἐπιφερομένους· ἐπεὶ δὲ τῆς ἀγορᾶς εἰς τὸν στενωπὸν ἐξωσθεὶς τὸν ἐπὶ τὴν πύλην ἀνήκοντα, συνέπιπτε τοῖς ἐπιβοηθοῦσιν, ἐξ ἐναντίας προσφερομένοις, οἱ μὲν οὐχ ὑπήκουον ὑποχωρεῖν βοῶντος αὐτοῦ, τοὺς δὲ καὶ πάνυ προθύμους ὄντας εἶργον οἱ κατόπιν ἀπὸ τῆς πύλης ἐπιχεόμενοι. Καὶ γὰρ ὁ μέγιστος ἐλέφας ἐν τῇ πύλῃ πλάγιος παραπεσὼν καὶ βρυχώμενος ἐμποδὼν ἔκειτο τοῖς ἀποτρεπομένοις. Καὶ τῶν προεισεληλυθότων ἕτερος, ᾧ Νίκων ὄνομα ἦν, ἀποῤῥυέντα τὸν ἐπιβάτην ὑπὸ τραυμάτων ζητῶν ἀναλαβεῖν, καὶ φερόμενος πρὸς τοὐναντίον τοῖς ὑπεξάγουσιν, ἀνέμιξε φίλους ὁμοῦ καὶ πολεμίους ὠθουμένους ὑπ᾽ αὐτοῦ· καὶ περιέπιπτον ἀλλήλοις, ἕως εὑρὼν νεκρὸν, ἀνείλετο τῇ προβοσκίδι, καὶ τοῖς ὀδοῦσιν ἀμφοτέροις ὑπολαβὼν, ἀνέστρεψε πάλιν ὥσπερ ἐμμανὴς ἀνατρέπων καὶ διαφθείρων τοὺς ἐντυγχάνοντας. Οὕτω δὲ θλιβομένων καὶ συμπιλουμένων πρὸς ἀλλήλους, οὐδεὶς οὐδὲν ἑαυτῷ καθ᾽ ἕνα χρῆσθαι δυνατὸς ἦν, ἀλλ᾽ ὥσπερ ἓν σῶμα συγγεγομφωμένον ἑαυτῷ, τὸ πᾶν πλῆθος ἐλάμβανε πολλὰς ἀποκλίσεις καὶ μεταβολὰς ἐπ᾽ ἀμφότερα. Καὶ μάχαι μὲν ἦσαν ὀλίγαι πρὸς τοὺς ἐναπολαμβανομένους ἀεὶ τῶν πολεμίων ἢ προσκειμένους ὄπισθεν, πλεῖστα δ᾽ ἑαυτοὺς εἰργάζοντο κακά.

Σπασάμενον γὰρ τὸ ξίφος, ἢ κλίναντα λόγχην, οὐκ ἦν ἀναλαβεῖν, οὐδὲ καταθέσθαι πάλιν· ἀλλ' ἐχώρει δι' ὧν ἔτυχε τὰ τοιαῦτα πάντα, καὶ περιπίπτοντες ἀλλήλοις ἔθνησκον.

XXXIV. Ὁ δὲ Πύῤῥος ἐφορῶν τὸν περιέχοντα χειμῶνα καὶ κλύδωνα, τὴν μὲν στεφάνην, ᾗ διάσημον ἦν τὸ κράνος, ἀφελὼν, ἔδωκέ τινι τῶν ἑταίρων· αὐτὸς δὲ τῷ ἵππῳ πεποιθὼς, εἰς τοὺς ἑπομένους τῶν πολεμίων ἐνέβαλε, καὶ δόρατι πληγεὶς διὰ τοῦ θώρακος οὐ καιρίαν πληγὴν, οὐδὲ μεγάλην, ἐπέστρεψε κατὰ τοῦ πατάξαντος, ὃς ἦν Ἀργεῖος, οὐ τῶν ἐπιφανῶν, ἀλλὰ πενιχρᾶς καὶ πρεσβυτέρας υἱὸς γυναικός. Αὕτη τότε θεωμένη τὴν μάχην, ὥσπερ αἱ λοιπαὶ γυναῖκες, ἀπὸ τοῦ τέγους, ὡς ἐπέγνω συνεστῶτα τῷ Πύῤῥῳ τὸν υἱὸν, ἐκπαθὴς γενομένη πρὸς τὸν κίνδυνον, ἄρασα κεραμίδα ταῖς χερσὶν ἀμφοτέραις, ἀφῆκεν ἐπὶ τὸν Πύῤῥον. Ἐμπεσούσης δὲ τῇ κεφαλῇ κατὰ τοῦ κράνους, καὶ τῶν σφονδύλων πρὸς τὴν βάσιν τοῦ τραχήλου συντριβέντων, αἵ τ' ὄψεις συνεχύθησαν αὐτοῦ, καὶ προήκαντο τὰς ἡνίας αἱ χεῖρες. Αὐτὸς δὲ κατενεχθεὶς παρὰ τὸν τοῦ Λικυμνίου σηκὸν ἔπεσεν, ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. Ζώπυρος δέ τις τῶν παρ' Ἀντιγόνῳ στρατευομένων, καὶ δύο ἢ τρεῖς ἕτεροι προσδραμόντες καὶ κατανοήσαντες, εἴς τινα θυρῶνα παρείλκυσαν αὐτὸν ἀρχόμενον ἐκ τῆς πληγῆς ἀναφέρεσθαι. Σπασαμένου δὲ τοῦ Ζωπύρου μάχαιραν Ἰλλυρικὴν, ὡς τὴν κεφαλὴν ἀποτεμοῦντος, ἐνέβλεψε δεινὸν, ὥστε τὸν Ζώπυρον περίφοβον γενόμενον, καὶ τὰ μὲν τρέμοντα ταῖς χερσὶ, τὰ δ' ἐπιχειροῦντα, θορύβου δὲ καὶ ταραχῆς μεστὸν ὄντα, μὴ κατ' ὀρ-
θὸν, ἀλλὰ παρὰ τὸ στόμα καὶ τὸ γένειον ἀποτέμνοντα, βρα- 406
δέως καὶ μόλις ἀποσπάσαι τὴν κεφαλήν. Ἤδη δὲ σύνδηλον ἦν τὸ γεγονὸς πλείοσι, καὶ προσδραμὼν ὁ Ἀλκυονεὺς ᾔτησε τὴν κεφαλὴν ὡς κατανοήσων. Λαβὼν δ' ἀφίππευσε πρὸς τὸν πατέρα, καὶ καθεζομένῳ μετὰ τῶν φίλων προσέβαλε. Θεασάμενος δὲ καὶ γνοὺς ὁ Ἀντίγονος, τὸν μὲν υἱὸν ἀπήλασε τῇ βακτηρίᾳ παίων, καὶ καλῶν ἐναγῆ καὶ βάρβαρον· αὐτὸς δὲ τὴν χλαμύδα προσθέμενος τοῖς ὄμμασιν ἐδάκρυσεν, Ἀντιγόνου τοῦ πάππου μνησθεὶς, καὶ Δημητρίου τοῦ πατρὸς, οἰκείων παραδειγμάτων εἰς τύχης μεταβολήν. Τὴν μὲν οὖν κεφαλὴν καὶ τὸ σῶμα τοῦ Πύῤῥου κοσμήσας ἐκαυ-

σεν. Ἐπεὶ δ' ὁ Ἀλκυονεὺς τῷ Ἑλένῳ περιτυχὼν ταπεινῷ, καὶ χλαμύδιον λιτὸν ἀμπεχομένῳ, φιλανθρώπως ἐνέτυχε, καὶ τῷ πατρὶ προσήγαγεν, ἰδὼν ὁ Ἀντίγονος· Βελτίονα μὲν, εἶπεν, ὦ παῖ, ταῦτα τῶν προτέρων· ἀλλ' οὐδὲ νῦν ὀρθῶς, τῷ μὴ περιελεῖν τὴν ἐσθῆτα ταύτην, ἢ μᾶλλον ἡμᾶς καταισχύνει, τοὺς κρατεῖν δοκοῦντας. Ἐκ τούτου φιλοφρονησάμενος, καὶ κοσμήσας τὸν Ἕλενον, ἀπέστειλεν εἰς Ἤπειρον, καὶ τοῖς φίλοις τοῦ Πύῤῥου πρᾴως ἐνετύγχανε, τοῦ στρατοπέδου καὶ τῆς δυνάμεως πάσης κύριος γενόμενος.
